BIBLIOTHECA
SCRIPTORVM GRAECORVM ET ROMANORVM
TEVBNERIANA

SOPHOCLIS

ANTIGONE

TERTIVM EDIDIT

R.D. DAWE



STVTGARDIAE ET LIPSIAE
IN AEDIBVS B.G. TEVBNERI MCMXCVI

Die Deutsche Bibliothek — CIP-Einheitsaufnahme

Sophocles:
Antigone / Sophocles. — 3. ed. / R. D. Dawe. —
Stutgardiae ; Lipsiae : Teubner, 1996
(Bibliotheca scriptorum Graecorum et Romanorum Teubneriana)
ISBN 3-8154-1811-9
NE: Dawe, Roger D. [Hrsg.]

Printed in Germany
Satz: DW & ID Repro- und Satzzentrum GmbH
Druck: Winkler druck GmbH, Gräfenhainichen
Buchbinderei: Christian Biener, Dessau

PRAEFATIO

Codices qui Trachinias, Antigonen, Philocteten Oedipumque Coloneum exhibent multo pauciores sunt illis qui triadem quae vocatur Byzantina. qui adhibendi essent quique neglegendi ex duobus praesertim subsidiis constituimus: collationibus videlicet librorum Antigones ab E. Christiano Kopff[1] Oedipodisque Colonei a G. Speake[2] confectis. quod ad Trachinias attinet, lectiones ex aliquot codicibus selectas iam dudum patefecit W. Subkoff[3]. editoris opus facilius reddiderunt etiam collationes Philoctetae librorum **GQR** quas publici iuris fecit Patricia Easterling[4]. multa tamen restabant nobis perficienda, atque multa iam ab his quos nominavimus lustrata iterum peragrare nobis aequum esse videbatur. alio autem modo rem gessimus atque in triade: nam cum lectionum minutias discrepantium impertire nobis non propositum esset, non codices ipsos sed imagines *ξηρογράφους* plerumque domi excussimus. quotiens autem ex his minus clarum erat quid in libris Parisinis scriptum esset, per *αὐτοψίαν* certiores facti sumus; eodem munere functus codices Flo-

1 A Collation and Description of the Manuscripts of Sophocles' Antigone, Diss. University of North Carolina, Chapel Hill, 1974.

2 Greek, Roman and Byzantine Monographs 8, Durham 1978.

3 Trachiniae ed. W. Subkoff, Mosquae 1879.

4 Class. Quart. N. S. 19 (1969) 57–85.

rentinos pro sua benevolentia nobis inspexit Augustus Guida.

Quibus modis codices harum quattuor fabularum inter se conectantur, quoad potuimus in tertio Studiorum nostrorum volumine[5] explanavimus. haud aliter atque in triade stationes extremas occupant codex L, quem A. Diller saec. X medio assignavit[6], et **A**, cui artissime cohaerent **U** et **Y**. codex **A** omnibus Sophoclis lectoribus iam dudum notissimus est, sed **U** eiusdem fere esse temporis atque auctoritatis videtur. ubi hi inter se discrepant, si lectionem progenitoris pro certo habere vis, codicis **Y** arbitrio rem remittas.

Tertia familia ex libris **ZoT** imprimis constituta est, quibus in hac editione accedunt **Zg** (Trach. et Phil.), **Zf** (Ant.), **Zn** (Oed. Col.). ex his principatum tenet **Zo**. auctoritatem huius familiae non facile colligeres ex editionibus quibus viri docti hodie uti solent. nunc tamen inter alia apparet multas lectiones quas Demetrii Triclinii ingenio tribuere mos erat ex antiquo fonte communi derivatas esse.

Zc (Ant.) auspiciis parum felicibus suum nomen accepit, nam cum **Zf Zg Zn Zo** non multum congruit. superest enim quarta familia quaedam, si familiam eos codices re vera appellare licet qui originem ducunt ex exemplaribus paucis haud multum a codice L distantibus. ex hac praeter **Zc** et illos **G** (Phil.) **Q** (Phil. et Oed. Col.) **R** (omnes praeter Trach. 373 ad finem), quos etiam in priore volumine adhibuimus, his codicibus usi sumus: **K**, cuius collationes utilissimas praestitit Metlikovitz[7]; hic omnes sep-

5 Studies on the Text of Sophocles, vol. III, Leiden 1978.
6 Serta Turyniana, Illinois 1974, 522.
7 Dissertationes philologae Vindobonenses 2 (Pragae – Vindobonae – Lipsiae 1890) 213–302.

tem fabulas continet, et eo gratior Trachiniarum editori est quod ceteri huius familiae libri in hac fabula aut partim aut omnino deficiunt; locum propiorem a codice **L** obtinet quam a progenitore librorum **GQR**. deinde **S** (Ant. et Phil. 1–654, 748–1297) et **V** (Ant. Phil. Trach. 1–18, Oed. Col. 1338–1779). quamquam **SV** multos errores communes exhibent, necessitudines alias uterque praebet: noli igitur eos pro gemellis habere. sunt loci ubi $S^{\gamma\rho}$ cum $L^{s\gamma\rho}$ consentit: Ant. 231, 521, 1136, 1308; Phil. 426, 538, 954, 1093, 1199.

Hodie nemo ignorat, etsi causas penitus intellegere difficile est, familias singulas vel etiam codices singulos lectiones antiquas tradere posse aliis traditionis stirpibus ignotas. **AUY** cum papyri fragmento consentiunt ad Trach. 360, Ant. 110, Oed. Col. 138. idem facit **K** ad Trach. 783, 1136, 1275. *φρονεῖν* exhibent L^{ac} et pap. Amst. Inv. 68 ad Trach. 289. inter Pollucem et **ZoT** est insignis similitudo in loco Ant. 628. ubi desunt testimonia extrinsecus afferenda. antiquas esse huiusmodi lectiones probant leges metricae seu grammaticae, ut de ipso stilo Sophocleo sileamus. hoc fusius comprobavimus in nostro libello Leidensi: possis tamen, si rem ex paucis admodum locis aestimare vis, hac brevi tabula uti:

prima familia
L: Ant. 619, 938; Phil. 110, 1461; Oed. Col. 35
$L^{s\gamma\rho}$: Trach. 7, 731; Ant. 340; Oed. Col. 1218

altera familia
AUY: Trach. 502, 977; Ant. 34, 471(?), 557, 1197; Phil. 895, 1235, 1312; Oed. Col. 110, 608, 786, 1531

tertia familia (praesertim **Zo***)*
Trach. 902, 1045; Ant. 152, 384, 864; Phil. 614, 745, 1243, 1429; Oed. Col. 250, 889, 1455, 1597, 1728

quarta familia
GQR: Phil. 11, 496, 1120
K: Oed. Col. 525, 778, 1337, 1515: hic codex formam *ποεῖν* saepe servat, aliter in codice **L** solum inventam.
S: Ant. 1289, Phil. 228(?), 496
V: Phil. 150, 650, 760

Multas bonas lectiones in codice **T** repertas hic non citamus, propterea quod Triclinius emendatorem tam fortem se praebuit ut interdum dubitari possit utrum lectio antiqua an coniectura recens nobis arrideat. cum viri docti tempore quo hanc editionem conficimus Triclinii modum operandi melius intellegere velint, in partibus lyricis collationes huius libri ampliores dedimus quam quas exegisset res mera critica.

E testimoniis haud multa discimus. Sophocles noster saepe commemoratur in opere *λεξικῶι* Suda: sed Trach. 743 et Oed. Col. 99 exceptis nihil fere praeter corruptiones novas impertit. Ant. 1167 soli servant Athenaeus et Eustathius: hic etiam *μηδ'* pro *μήτ'* ad Phil. 771. orthographiam veram tradit Photius ad Trach. 770, et ad Trach. 788 *τ'* sincerum in textu depravato Diogenes Laertius. lectionem pretiosam quam coniectura attingere non potuerimus habet Strabo ad Trach. 12–13.

In hac tertia editione textum manu paulo liberiore tractavimus ne ubi remedium excogitari posset balbutire noster lectori retardato videretur. Itemque ea spe ut optimae lectiones quas caligo oblivionis paene obrutas habebat iterum in lucem reducerentur plures coniecturas in apparatu commemorare dignavimus, quarum maiorem partem e collectione auro pretiosiore quam conflavit L. van Paassen exprompsimus.

Cantabrigiae, A. D. MCMXCIV R. D. D,

CONSPECTVS SIGLORVM

A	Paris. gr. 2712
K	Flor. Laur. 31, 10
L	Flor. Laur. 32, 9
R	Vatic. gr. 2291
S	Vatic. Urbinas gr. 141
T	Paris. gr. 2711
U	Ven. gr. 467
V	Ven. gr. 468
Y	Vindob. phil. gr. 48
Zc	Vatic. gr. 1333
Zf	Paris. gr. 2884
Zo	Vatic. Palat. gr. 287

Codex **L** ca. 950 A. D. exscriptus est, et **K** fortasse ante A. D. 1200. **G** subscriptionem A. D. 1282 exhibet, **Zf** 1301, **U** 1312, eiusdemque fere aetatis esse debet **A**. saeculo quinto decimo assignantur **RY**, sexto decimo **Q**. ceteri codices saeculo quarto decimo exarati sunt, nisi forte **V** exeunte saeculo priore.
interdum adhibetur etiam **Zh**, Vat. gr. 57.

P. Oxy. 875 (Ant. 242–246) saec. II p. Chr.
P. Oxy. 3686 (Ant. 109–123) saec. II p. Chr.
P. Mich. Inv. 6585a (Ant. 297–308) saec. I a.–I p. Chr.

$\mathbf{B}^{ac}$	lectio codicis **B** ante correctionem
$\mathbf{B}^{pc}$	lectio codicis **B** post correctionem
$\mathbf{B}^{c}$	lectio correcta ubi $\mathbf{B}^{ac}$ dispici nequit
$\mathbf{B}^{1pc}$	correctio a prima manu illata
$\mathbf{B}^{2}$	manus altera quaelibet
$\mathbf{B}^{2pc}$	hoc siglum usurpatur ubi satis certum est lectionem correctam nec $\mathbf{B}^{1}$ nec $\mathbf{B}^{s}$ intulisse
$\mathbf{B}^{s}$	scriba scholiorum vel glossator frequens

B$^{\gamma\varrho}$	varia lectio in **B** reperta, praefixis litteris *γρ.*, *γρ. καὶ*, aut formula *εὕρηται δὲ ἔν τισι* vel. sim.
B^{gl}	glossema in **B** repertum, interdum etiam varia lectio sine *γρ.*, *γρ. καὶ* vel tali formula praefixa
B in lin.	lectio codicis **B** in linea reperta
B s. l.	lectio codicis **B** supra lineam reperta
Σ	scholia
*	rasura unius litterae
●	littera nihili
rell.	lectio omnium ceterorum codicum exceptis meris erroribus in uno vel duobus codicibus inventis
fere rell.	lectio quam vult maior pars ceterorum codicum, meris erroribus tantum suppressis qui nihil ad rem criticam conferunt
rec.	hoc siglo raro utimur ubi convenit lectiones commemorare unius vel plurium codicum quae nobis ex editionibus aliorum innotuerunt
⟨ ⟩	editoris supplementum
[ ]	verba quae editor delenda censet

ΑΝΤΙΓΟΝΗ

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΑΝΤΙΓΟΝΗ
ΙΣΜΗΝΗ
ΧΟΡΟΣ ΘΗΒΑΙΩΝ ΓΕΡΟΝΤΩΝ
ΚΡΕΩΝ
ΦΥΛΑΞ
ΑΙΜΩΝ
ΤΕΙΡΕΣΙΑΣ
ΑΓΓΕΛΟΣ
ΕΥΡΥΔΙΚΗ
ΕΞΑΓΓΕΛΟΣ

ΑΝΤΙΓΟΝΗ

Ὦ κοινὸν αὐτάδελφον Ἰσμήνης κάρα,
ἆρ' οἶσθ' ὅ τι Ζεύς, τῶν τ' ἀπ' Οἰδίπου κακῶν
ὁποῖον οὐχὶ νῶιν ἔτι ζώσαιν τελεῖ;
οὐδὲν γὰρ οὐκ ἀλγεινὸν οὐδ' ἄτης ἄτερ.
[οὔτ' αἰσχρὸν οὔτ' ἄτιμόν ἐσθ', ὁποῖον οὐ]
τῶν σῶν τε κἀμῶν οὐκ ὄπωπ' ἐγὼ κακῶν.
καὶ νῦν τί τοῦτ' αὖ φασι πανδήμωι πόλει
κήρυγμα θεῖναι τὸν στρατηγὸν ἀρτίως;
ἔχεις τι κεἰσήκουσας; ἤ σε λανθάνει
πρὸς τοὺς φίλους στείχοντα τῶν ἐχθρῶν κακά;

ΙΣΜΗΝΗ

ἐμοὶ μὲν οὐδεὶς μῦθος, Ἀντιγόνη, φίλων
οὔθ' ἡδὺς οὔτ' ἀλγεινὸς ἵκετ', ἐξ ὅτου
δυοῖν ἀδελφοῖν ἐστερήθημεν δύο
μιᾶι θανόντοιν ἡμέραι διπλῆι χερί·
ἐπεὶ δὲ φροῦδός ἐστιν Ἀργείων στρατὸς
ἐν νυκτὶ τῆι νῦν, οὐδὲν οἶδ' ὑπέρτερον,
οὔτ' εὐτυχοῦσα μᾶλλον οὔτ' ἀτωμένη.

codd. **LKRSVAUYZcZfZoT**

1 *κλεινὸν* Wecklein || 2 *Ζεύς, τῶν τ'* Dawe *Ζεὺς τῶν* codd. cf. Trach. 1278 et commentariolum nostrum ad Oed. Tyr. 1329 || **3** *τελεῖ* futurum || **4** *οὐκ* Lehrs *οὔτ'* codd. | *οὐδ'* nescio quis primus coni. *οὔτ'* codd. || 5 genuinum versum expulisse uidetur | *οὐ* L^{pc}AUYZoT *οὐχὶ* L^{ac} rell. || **13** *δύο*] *δύω* L^{ac}Zc || **14** *θανόντων* codd.: corr. Blaydes || **15** *Ἀργεῖος* **AZo**

ΑΝ. ἤιδη καλῶς, καί σ' ἐκτὸς αὐλείων πυλῶν
τοῦδ' οὕνεκ' ἐξέπεμπον, ὡς μόνη κλύοις.
ΙΣ. τί δ' ἔστι; δηλοῖς γάρ τι καλχαίνουσ' ἔπος.
ΑΝ. οὐ γὰρ τάφου νῶιν τὼ κασιγνήτω Κρέων
τὸν μὲν προτίσας, τὸν δ' ἀτιμάσας ἔχει;
Ἐτεοκλέα μέν, ὡς λέγουσι, † σὺν δίκηι
χρησθεὶς δικαίαι† καὶ νόμωι κατὰ χθονὸς
ἔκρυψε, τοῖς ἔνερθεν ἔντιμον νεκροῖς·
τὸν δ' ἀθλίως θανόντα Πολυνείκους νέκυν
ἀστοῖσί φασιν ἐκκεκηρῦχθαι τὸ μὴ
τάφωι καλύψαι μηδὲ κωκῦσαί τινα,
ἐᾶν δ' ἄκλαυτον, ἄταφον, οἰωνοῖς γλυκὺν
θησαυρὸν εἰσορμῶσι πρὸς χάριν βορᾶς.
τοιαῦτά φασι τὸν ἀγαθὸν Κρέοντά σοι
κἀμοί, λέγω γὰρ κἀμέ, κηρύξαντ' ἔχειν·
καὶ δεῦρο νεῖσθαι ταῦτα τοῖσι μὴ εἰδόσιν
σαφῆ προκηρύξοντα, καὶ τὸ πρᾶγμ' ἄγειν
οὐχ ὡς παρ' οὐδέν, ἀλλ' ὃς ἂν τούτων τι δρᾶι
φόνον προκεῖσθαι δημόλευστον ἐν πόλει.

18 *ἤιδη* **Zc**^{ac}, coni. Pierson *ἤιδην* **K** *ἤιδειν* **K** s. l., rell. ‖ **20** *χαλκαίνουσ'* **A**, verum **A**^{γρ} inter **Σ** ‖ **21** *τάφωι* **K**^{ac}, **V** s. l., coni. Kousis ‖ **23** post hunc v. lacunam indicavit F. Kern ‖ **24** *χρῆσθαι δικαιῶν τῶι νόμωι* H. Schütz | vers. del. Wunder ‖ **27** *φησὶν* **L**^{ac}**RZc** ‖ **29** *ἄκλαυτον ἄταφον* **K** *ἄταφον ἄκλαυτον* **L**^{ac} *ἄταφον ἄκλαυστον* **L**^{pc}**ZcZf** *ἄκλαυτον ἄθαπτον* **R** *ἄκλαυστον ἄταφον* rell. ‖ **30** *ἕρμαιον* ex **Σ** Heimreich | *εἰσορμῶσι* anon. *-ορῶσι* codd. | *πρὸς χάριν*] cf. Phil. 1156: *βορᾶς* cum *θησαυρὸν* intellegendum *χαρὰν* Blaydes: *τέρψιν* et *ἡδονήν* **Σ** | vers. del. Wunder: idem, *βορὰν* pro *γλυκὺν* reposito, Nauck, praeeunte Löschhorn: cf. [Eur,.] Phoen. 1634 ‖ **31** *Κρέοντα σοί* **R** *Κρέοντά· σοὶ* **L** *Κρέοντα· σοὶ,* **S** ‖ **33** *τοῖσι* Heath *τοῖς* codd. ‖ **34** *προκηρύξοντα* **UY**, **T** s. l. *-ύσσοντα* **L**^{ac}**RV** *-ύξαντα* **L**^{pc} rell. | *ἔχειν* **Zo**, **T** in lin.

οὕτως ἔχει σοι ταῦτα, καὶ δείξεις τάχα
εἴτ' εὐγενὴς πέφυκας εἴτ' ἐσθλῶν κακή.
ΙΣ. *τί δ', ὦ ταλαῖφρον, εἰ τάδ' ἐν τούτοις, ἐγὼ*
λύουσ' ἂν εἴθ' ἅπτουσα προσθείμην πλέον;
ΑΝ. *εἰ ξυμπονήσεις καὶ ξυνεργάσηι σκόπει.*
ΙΣ. *ποῖόν τι κινδύνευμα; ποῦ γνώμης ποτ' εἶ;*
ΑΝ. *εἰ τὸν νεκρὸν ξὺν τῆιδε κουφιεῖς χερί.*
ΙΣ. *ἦ γὰρ νοεῖς θάπτειν σφ', ἀπόρρητον πόλει;*
ΑΝ. *τὸν γοῦν ἐμὸν καὶ τὸν σόν, ἢν σὺ μὴ θέλῃς.*
[ἀδελφόν· οὐ γὰρ δὴ προδοῦσ' ἁλώσομαι.]
ΙΣ. *ὦ σχετλία, Κρέοντος ἀντειρηκότος;*
ΑΝ. *ἀλλ' οὐδὲν αὐτῶι τῶν ἐμῶν μ' εἴργειν μέτα.*
ΙΣ. *οἴμοι· φρόνησον, ὦ κασιγνήτη, πατὴρ*
ὡς νῶιν ἀπεχθὴς δυσκλεής τ' ἀπώλετο,
πρὸς αὐτοφώρων ἀμπλακημάτων διπλᾶς
ὄψεις ἀράξας αὐτὸς αὐτουργῶι χερί·
ἔπειτα μήτηρ καὶ γυνή, διπλοῦν ἔπος,
πλεκταῖσιν ἀρτάναισι λωβᾶται βίον·
τρίτον δ' ἀδελφὼ δύο μίαν καθ' ἡμέραν
αὐτοκτονοῦντε τὼ ταλαιπώρω μόρον
κοινὸν κατειργάσαντ' ἐπαλλήλοιν χεροῖν.

40 *εἴθ' ἅπτουσα* Porson *εἰ* codicis L gemellus *καὶ* V *ἢ* R *ἢ* rell., dein *θάπτουσα* omnes codd. *ἢ 'φάπτουσα* ex Σ Brunck *κλάουσ' ἂν ἢ θάπτουσα* Pantsch || **42** *ποῦ* AUY *τί* Zf *ποῖ* rell. *πῆ* rec. || **44** *σφ'* om. KS || **45** *τὸν σόν τε, κἂν σὺ μὴ* Meineke *ἢν καὶ μὴ* Dawe || **46** del. Benedict (*Δίδυμός φησιν ὑπὸ τῶν ὑπομνηματιστῶν νενοθεῦσθαι* Σ: cf. *τῆς ἐμῆς* sine *κόρης* Oed. Col. 830, etiam El. 536) || **48** *μ'* Brunck: om. codd. || **51** *διπλᾶς*] *τάλας* KV^{γρ} || **53** *διπλοῦν*] *κακὸν* Zf *διπλοῦν κακὸν* Zh | *ἔπος* LK, et *γρ.* in AUY *πάθος* L^{s} s. l., rell. || **55** *δύο* KVZcZoT *δύω* rell. || **56** *αὐτοκτονοῦντε* Par. 2886, et cum spir. asp. coni. Coraes *αὐτοκτενοῦντε* (*-αι* R^{ac}) rell. || **56–57** *ταλαιπώρω χεροῖν* et *ἐπ' ἀλλήλοιν μόρον* Wunder || **57** *ἐπαλλήλοιν* KSUZcZf *ἐπ' ἀλλήλοιν* rell. | *χερί* Meineke

νῦν δ' αὖ μόνα δὴ νὼ λελειμμένα σκόπει
ὅσωι κάκιστ' ὀλούμεθ', εἰ νόμου βίαι
ψῆφον τυράννων ἢ κράτη παρέξιμεν.
ἀλλ' ἐννοεῖν χρὴ τοῦτο μὲν γυναῖχ' ὅτι
ἔφυμεν, ὡς πρὸς ἄνδρας οὐ μαχουμένα,
ἔπειτα δ' οὕνεκ' ἀρχόμεσθ' ἐκ κρεισσόνων
καὶ ταῦτ' ἀκούειν κἄτι τῶνδ' ἀλγίονα.
ἐγὼ μὲν οὖν αἰτοῦσα τοὺς ὑπὸ χθονὸς
ξύγγνοιαν ἴσχειν, ὡς βιάζομαι τάδε,
τοῖς ἐν τέλει βεβῶσι πείσομαι· τὸ γὰρ
περισσὰ πράσσειν οὐκ ἔχει νοῦν οὐδένα.

ΑΝ. *οὔτ' ἂν κελεύσαιμ' οὔτ' ἄν, εἰ θέλοις ἔτι*
πράσσειν, ἐμοῦ γ' ἂν ἡδέως δρώιης μέτα.
ἀλλ' ἴσθ' ὁποῖά σοι δοκεῖ· κεῖνον δ' ἐγὼ
θάψω· καλόν μοι τοῦτο ποιούσηι θανεῖν.
φίλη μετ' αὐτοῦ κείσομαι, φίλου μέτα,
ὅσια πανουργήσασ', ἐπεὶ πλείων χρόνος
ὃν δεῖ μ' ἀρέσκειν τοῖς κάτω τῶν ἐνθάδε.
ἐκεῖ γὰρ αἰεὶ κείσομαι· σοὶ δ' εἰ δοκεῖ,
τὰ τῶν θεῶν ἔντιμ' ἀτιμάσασ' ἔχε.

ΙΣ. *ἐγὼ μὲν οὐκ ἄτιμα ποιοῦμαι, τὸ δὲ*
βίαι πολιτῶν δρᾶν ἔφυν ἀμήχανος.

ΑΝ. *σὺ μὲν τάδ' ἂν προὔχοι', ἐγὼ δὲ δὴ τάφον*
χώσουσ' ἀδελφῶι φιλτάτωι πορεύσομαι.

ΙΣ. *οἴμοι ταλαίνης, ὡς ὑπερδέδοικά σου.*

58 *δ'* **VAUY** om. rell. ‖ **60** *ἐγκρατῆ* Wieseler *καὶ κράτη* Axt ‖ **63** *κρειττόνων* **L** in lin., **Zc** *κρεῖττον* **R** ‖ **68–69** om. L^{ac}, 68 add. L^{1} vel L^{s}, 69 L^{2} ‖ **70** *ἐμοὶ* **K** *ἐμοί* Meineke ‖ **71** *ὁποία* **KT**, et novit **Σ** ‖ **76** *σὺ δ'* **Zh** s. l., et coni. Elmsley ‖ **78** *μὲν * * * οὐκ* **L** ‖ **80** *δὲ δὴ*] *δ' ἤδη* novit **Σ** ‖ **81** *πορεύομαι* Wecklein

ΑΝ. μὴ 'μοῦ προτάρβει· τὸν σὸν ἐξόρθου βίον.
ΙΣ. ἀλλ' οὖν προμηνύσῃς γε τοῦτο μηδενὶ
τοὔργον, κρυφῆι δὲ κεῦθε, σὺν δ' αὔτως ἐγώ.
ΑΝ. οἴμοι, καταύδα· πολλὸν ἐχθίων ἔσηι
σιγῶσ', ἐὰν μὴ πᾶσι κηρύξῃς τάδε.
ΙΣ. θερμὴν ἐπὶ ψυχροῖσι καρδίαν ἔχεις.
ΑΝ. ἀλλ' οἶδ' ἀρέσκουσ' οἷς μάλισθ' ἁδεῖν με χρή.
ΙΣ. εἰ καὶ δυνήσῃι γ'· ἀλλ' ἀμηχάνων ἐρᾶις.
ΑΝ. οὐκοῦν, ὅταν δὴ μὴ σθένω, πεπαύσομαι.
ΙΣ. ἀρχὴν δὲ θηρᾶν οὐ πρέπει τἀμήχανα.
ΑΝ. εἰ ταῦτα λέξεις, ἐχθαρῆι μὲν ἐξ ἐμοῦ,
ἐχθρὰ δὲ τῶι θανόντι προσκλήισηι δίκηι.
ἀλλ' ἔα με καὶ τὴν ἐξ ἐμοῦ δυσβουλίαν
παθεῖν τὸ δεινὸν τοῦτο· πείσομαι γὰρ οὐ
τοσοῦτον οὐδὲν ὥστε μὴ οὐ καλῶς θανεῖν.
ΙΣ. ἀλλ', εἰ δοκεῖ σοι, στεῖχε· τοῦτο δ' ἴσθ', ὅτι
ἄνους μὲν ἔρχῃι, τοῖς φίλοις δ' ὀρθῶς φίλη.

ΧΟΡΟΣ

ἀκτὶς ἀελίου, τὸ κάλ- στρ. α
λιστον ἑπταπύλωι φανὲν
Θήβαι τῶν προτέρων φάος,
ἐφάνθης ποτ', ὦ χρυσέας
ἁμέρας βλέφαρον, Διρκαί-
ων ὑπὲρ ῥεέθρων μολοῦσα,

83 *μή μου* codd.: corr. Schaefer | *βίον*] *πότμον* L, verum L$^{s.v.ρ.}$ || **84** *προμηνύσεις* **KVZcT** || **85** *κεῦθε*] *τεῦχε* **K** | *αὔτως* **V** *αὕτως* rell. || **89** *μάλισθ' ἁδεῖν* **T** *μάλιστ' ἁδεῖν* **L** *μάλιστ' ἀδεῖν* rell. || **93** *ἐχθαρῆι* **KSAUY** *ἐχθρὰ* **Zf**^{ac} *ἐχθρανῆι* **LRVZcZoT**, vult **Zf**^{pc} || **94** *προσκείσηι* codd.: corr. Dawe || **96** *γὰρ οὖν* Elmsley || **97** *οὐ* om. **Zf**^{pc}**ZoT** || **99** *φίλει* L^{ac} in lin. || **100** *ἀελίοιο* **L**^{pc}**SA UY**, quo recepto *τὸ* seclusit Bothe || **102** *πρότερον* **A**

τὸν λεύκασπιν †Ἀργόθεν†
φῶτα βάντα πανσαγίαι
φυγάδα πρόδρομον ὀξυτόρωι
κινήσασα χαλινῶι.

ὃν ἐφ' ἁμετέραι γᾶι Πολυνείκης
ἀρθεὶς νεικέων ἐξ ἀμφιλόγων
⟨⏑⏑–⏑⏑–⟩ ὀξέα κλάζων
αἰετὸς ὣς γᾶν ὑπερέπτα,
λευκῆς χιόνος πτέρυγι στεγανὸς
πολλῶν μεθ' ὅπλων
ξύν θ' ἱπποκόμοις κορύθεσσιν.

στὰς δ' ὑπὲρ μελάθρων φονώ- *ἀντ. α*
σαισιν ἀμφιχανὼν κύκλωι
λόγχαις ἑπτάπυλον στόμα
ἔβα πρίν ποθ' ἁμετέρων
αἱμάτων γένυσιν πλησθῆ-
ναί τε καὶ στεφάνωμα πύργων
πευκάενθ' Ἥφαιστον ἑλεῖν.
τοῖος ἀμφὶ νῶτ' ἐτάθη
πάταγος Ἄρεος, ἀντιπάλωι
δυσχείρωμα δράκοντος.

106 *Ἀργόθεν*] *Ἀργόθε πρὶν* **T** *ἀπ' Ἀργόθεν* Erfurdt *Ἰναχόθεν* Mekler ‖ **108** *ὀξυτέρωι* **K** s. l., **RVZfZo**, novit **ΣL** *ὀξυπόρωι* **S**, coni. Musgrave ‖ **110** *ὅς … Πολυνείκους* Scaliger | *ἁμετέραι* **AUY** et pap. Oxy. 3686 *ἡμ-* rell. | *γῆι* edd.: cf. 113 ‖ **111** *ορθεις* pap. ‖ **112** *⟨ἐπόρευσε· θοῶς δ'⟩* Erfurdt ‖ **113** *ὣς γᾶν* Blaydes *εἰς γᾶν ὣς* **LKSZcT** *εἰς γῆν ὣς* **RVAUYZfZo** *ὣς γᾶν ⟨τάνδ'⟩* Dawe ‖ **114** *λευκηι χιονι* pap. in lin. ‖ **116** *κορύθεσσιν* **L** s. l., **T** *-εσιν* **L** in lin., **R** *-εσσι* **SAUY** *-εσι* rell. ‖ **117** *φονώσαισιν* ex **Σ** Bothe *φονῶσιν* **K**[ac] *φοναῖσιν* **K**[pc] *φοινίαισιν* **SVZoT** *φονίαισιν* rell. ‖ **122** *τε* **T**, silet **ΣT** om. rell. ‖ **125** *ἀντιπάλου* s. l. in **LAUY** | *δράκοντος* **V**, et s. l. in **AUY** *δράκοντι* rell.

Ζεὺς γὰρ μεγάλης γλώσσης κόμπους
ὑπερεχθαίρει, καί σφας ἐσιδὼν
πολλῶι ῥεύματι προσνισσομένους
χρυσοῦ καναχῆς ὑπεροπλίαις,
παλτῶι ῥιπτεῖ πυρὶ βαλβίδων
ἐπ' ἄκρων ἤδη
νίκην ὁρμῶντ' ἀλαλάξαι.

ἀντιτύπαι δ' ἐπὶ γᾶι πέσε τανταλωθεὶς *στρ. β*
πυρφόρος ὃς τότε μαινομέναι ξὺν ὁρμᾶι
βακχεύων ἐπέπνει
ῥιπαῖς ἐχθίστων ἀνέμων.
εἶχε δ' † ἄλλα τὰ δ' ἄλλα
τὰ δ' ἐπ' ἄλλοις † ἐπενώ-
μα στυφελίζων μέγας Ἄ-
ρης δεξιόσειρος.

ἑπτὰ λοχαγοὶ γὰρ ἐφ' ἑπτὰ πύλαις
ταχθέντες ἴσοι πρὸς ἴσους ἔλιπον
Ζηνὶ τροπαίωι πάγχαλκα τέλη,
πλὴν τοῖν στυγεροῖν, ὣ πατρὸς ἑνὸς

128 *ἐσιδὼν* **KVAUYT** *εἰσιδὼν* rell. ‖ **129** *προσνισσομένους* **VT** *προσνισομένους* rell. ‖ **130** *καναχεῖς* M. Schmidt | *ὑπεροπλίαις* Vauvilliers *ὑπεροπλίας* rec. *ὑπεροπτείας* **K** *ὑπερόπτα* **Zf** *ὑπερόπτας* s.l. **LAUY** *ὑπεροπτίας* rell. ‖ **131** *ῥίπτει* Erfurdt ‖ **134** *ἀντιτύπαι* Porson *-τυπος* **T** *-τυπα* rell., sed *-ως* **L** s.l. | *γᾶν* **ZfZoT** ‖ **138** *εἶδε* **V^{ac}Zf** ‖ **138** sq. *ἄλλα τὰ δ'* (*τάδ'* **R**) *ἄλλα τὰ δ'* (*τάδ'* **R**) *ἐπ' ἄλλους* **L^{ac}R** *ἄλλαι τὰ μὲν ἄλλαι τάδ' ἐπ' ἄλλοις* **AUY**, et, cum *τὰ δ'* pro *τάδ'*, **L^{pc}** *ἄλλα τάδ' ἐπ' ἄλλους* **KZfZo** (*-οις* **Zf^{gl}**) *ἄλλα δεινὰ τάδ' ἐπ' ἄλλους* **VZh^{ac}**: *τάδ'* eras. **Zh^{pc}** *ἄλλα τάδ' ἐπ' ἄλλοις* **SZc** (*δεινὰ* **S^{gl}**) *ἄλλη τάδ', ἄλλα δ' ἐπ' ἄλλοις* **T** *εἶχε δ' ἄλλαι τάδ', ἄλλαι δ' ἐπ' ἄλλοις* Spengel *ἀλαλὰ* hic latere suspicatur Bergk | *ἐπινωμᾶι* **V** ‖ **140** *δεξιόχειρος* **$L^{ac}R^{γρ}$Zc**, lemma **ΣL**

μητρός τε μιᾶς φύντε καθ' αὑτοῖν
δικρατεῖς λόγχας στήσαντ' ἔχετον
κοινοῦ θανάτου μέρος ἄμφω.

ἀλλὰ γὰρ ἁ μεγαλώνυμος ἦλθε Νίκα ἀντ. β
τᾶι πολυαρμάτωι ἀντιχαρεῖσα Θήβαι,
ἐκ μὲν δὴ πολέμων
τῶν νῦν θέσθαι λησμοσύναν·
θεῶν δὲ ναοὺς χοροῖς
παννυχίοις πάντας ἐπέλ-
θωμεν, ὁ Θήβας δ' ἐλελί-
χθων βάκχιος ἄρχοι.

ἀλλ' ὅδε γὰρ δὴ βασιλεὺς χώρας,
Κρέων ὁ Μενοικέως ⟨⏑⏑–⟩ νεοχμὸς
νεαραῖσι θεῶν ἐπὶ συντυχίαις
χωρεῖ τίνα δὴ μῆτιν ἐρέσσων,
ὅτι σύγκλητον τήνδε γερόντων
προύθετο λέσχην,
κοινῶι κηρύγματι πέμψας;

ΚΡΕΩΝ

ἄνδρες, τὰ μὲν δὴ πόλεος ἀσφαλῶς θεοὶ
πολλῶι σάλωι σείσαντες ὤρθωσαν πάλιν·

146 *στήσαντ'*] cf. [Sim.] 88^{B} D ‖ **147** *κοινὸν* Blaydes ‖ **151** *θέσθαι* **RSVT**, fort. L^{ac} *θέσθε* L^{pc} rell. | *λησμοσύναν* **R** *-ην* rell. ‖ **152** *παννυχίοις* **ZcZfZo** *παννύχοις* rell. ‖ **152–253** om. **V** ‖ **154** *ἐλελίχθων* $L^{s\gamma\rho}$**ZoT**, Zc^{2} s. l. *ἐλελίζων* rell. | *βακχεῖος* codd.: corr. Bothe ‖ **155–161** aut uno aut tribus pedibus metrum carere videtur; post *νεοχμὸς* suppl. ⟨*νεοχμῶς ταγὸς ταχθεὶς*⟩ Wolff; post *Μενοικέως* suppl. ⟨*νεωστὶ καταστὰς ταγὸς*⟩ Gerhard Müller: *νέος νεωστὶ κατασταθεὶς εἰς τὴν ἀρχήν* **ΣL** ‖ **158** *ἐλίσσων* Johnson ‖ **161** *καινῶι* W. Schmid ‖ **162** *πόλεος* **AYT** *πόλεως* rell. ‖ **163** *πάλαι* **K** in lin. *πόλιν* **Zc**

ὑμᾶς δ' ἐγὼ πομποῖσιν ἐκ πάντων δίχα
ἔστειλ' ἱκέσθαι, τοῦτο μὲν τὰ Λαΐου
σέβοντας εἰδὼς εὖ θρόνων ἀεὶ κράτη,
τοῦτ' αὖθις, ἡνίκ' Οἰδίπους ὤρθου πόλιν,
⟨.............................⟩
κἀπεὶ διώλετ', ἀμφὶ τοὺς κείνων ἔτι
παῖδας μένοντας ἐμπέδοις φρονήμασιν.
ὅτ' οὖν ἐκεῖνοι πρὸς διπλῆς μοίρας μίαν
καθ' ἡμέραν ὤλοντο, παίσαντές τε καὶ
πληγέντες αὐτόχειρι σὺν μιάσματι,
ἐγὼ κράτη δὴ πάντα καὶ θρόνους ἔχω
γένους κατ' ἀγχιστεῖα τῶν ὀλωλότων.
ἀμήχανον δ' ἀνακτὸς ἀνδρὸς ἐκμαθεῖν
ψυχήν τε καὶ φρόνημα καὶ γνώμην, πρὶν ἂν
ἀρχαῖς τε καὶ νόμοισιν ἐντριβὴς φανῇ.
ἐμοὶ γὰρ ὅστις πᾶσαν εὐθύνων πόλιν
μὴ τῶν ἀρίστων ἅπτεται βουλευμάτων,
ἀλλ' ἐκ φόβου του γλῶσσαν ἐγκλῄσας ἔχει,
κάκιστος εἶναι νῦν τε καὶ πάλαι δοκεῖ·
καὶ μείζον' ὅστις ἀντὶ τῆς αὑτοῦ πάτρας
φίλον νομίζει, τοῦτον οὐδαμοῦ λέγω.
ἐγὼ γάρ, ἴστω Ζεὺς ὁ πάνθ' ὁρῶν ἀεί,
οὔτ' ἂν σιωπήσαιμι τὴν Ἄτην ὁρῶν
στείχουσαν ἀστοῖς ἀντὶ τῆς σωτηρίας,

167 post hunc versum lacunam indicavit Dindorf: Iocastae mentio valde desideratur || **168** *κείνου* **Zf** || **169** *ἐμπέδους* Reiske | *φρονήματα* **Zo** || **174** *ἀγχιστείαν* **RZcZo** || **175–190** citat Demosth. 19, 247 || **175** *δ' ἀνακτὸς* A. Müller *δὲ παντὸς* codd. || **178** *πᾶσαν* om. S^{ac}, post *εὐθύνων* exhibet Vat. gr. 910 || **180** *φόβου*] *σοφ-* incepit L^{ac} *τάφου* **Zf** | *ἐγκλείσας* codd.: corr. Elmsley || **182** *μεῖζον* L^{ac}**KZc** | *ὅστις*] *εἴ τις* Stobaeus 4, 187, 15 *αὑτοῦ* **AUYZo** *αὐτοῦ* rell. || **183** *οὐδαμῇ* **K** || **186** *ἀστοῖς*] *ἆσσον* Dobree: cf. O. C. 312 et Dem. 19, 248 (*ὁμοῦ*)

οὔτ' ἂν φίλον ποτ' ἄνδρα δυσμενῆ χθονὸς
θείμην ἐμαυτῶι, τοῦτο γιγνώσκων ὅτι
ἥδ' ἐστὶν ἡ σώιζουσα, καὶ ταύτης ἔπι
πλέοντες ὀρθῆς τοὺς φίλους ποιούμεθα.
τοιοῖσδ' ἐγὼ νόμοισι τήνδ' αὔξω πόλιν.
καὶ νῦν ἀδελφὰ τῶνδε κηρύξας ἔχω
ἀστοῖσι παίδων τῶν ἀπ' Οἰδίπου πέρι·
Ἐτεοκλέα μέν, ὃς πόλεως ὑπερμαχῶν
ὄλωλε τῆσδε, πάντ' ἀριστεύσας δορί,
τάφωι τε κρύψαι καὶ τὰ πάντ' ἐφαγνίσαι
ἃ τοῖς ἀρίστοις ἔρχεται κάτω νεκροῖς·
τὸν δ' αὖ ξύναιμον τοῦδε, Πολυνείκην λέγω,
ὃς γῆν πατρώιαν καὶ θεοὺς τοὺς ἐγγενεῖς
φυγὰς κατελθὼν ἠθέλησε μὲν πυρὶ
πρῆσαι κατ' ἄκρας, ἠθέλησε δ' αἵματος
κοινοῦ πάσασθαι, τοὺς δὲ δουλώσας ἄγειν,
τοῦτον πόλει τῆιδ' ἐκκεκήρυκται τάφωι
μήτε κτερίζειν μήτε κωκῦσαί τινα,
ἐᾶν δ' ἄθαπτον καὶ πρὸς οἰωνῶν δέμας
καὶ πρὸς κυνῶν ἐδεστὸν αἰκισθέν τ' ἰδεῖν.
τοιόνδ' ἐμὸν φρόνημα, κοὔποτ' ἔκ γ' ἐμοῦ
τιμῆι προέξουσ' οἱ κακοὶ τῶν ἐνδίκων.

187 *χθονὸς*] *πόλεως* **L**[s] s. l. ‖ **190** *ὀρθῶς* **R** | *τοὺς λόγους* Stobaeus 3, 725, 3 ‖ **193** *τῶν* **RAUYZfZo** *τῶνδ'* rell. ‖ **195** *δορὺ* **A** *χερὶ* **L**[s] s. l. *δορὸ* **R** ‖ **196** *ἐφαγνίσαι* **LKZoT** *ἐφαυγῆσαι* **R** *ἀφαγνίσαι* rell. ‖ **197** *ἔρδεται* L. Dindorf ‖ **198** *Πολυνείκη* Dindorf: cf. Oed. Col. 375 ‖ **201** *πέρσαι* Musgrave: cf. Aesch. Cho. 691, Eur. Hel. 691, Iph. Aul. 778: contra Hom. Il. 22, 411 ‖ **202** *ἔχειν* **K**, coni. Pallis ‖ **203** *ἐκκεκηρύχθαι* codd.: corr. Musgrave | *τοῦτον σχολῆς τῆσδ' ἐκκεκηρῦχθαι λέγω* Carneades apud Diog. Laert. 4, 64 ‖ **206** inter *αἰκισθέν τ'* et *αἰκισθέντ'* vix distinguunt codd. ‖ **208** *τιμὴν* codd.: corr. Pallis | *προσέξουσ'* **KR Zf** *προσάξουσ'* **S**

ἀλλ' ὅστις εὔνους τῆιδε τῆι πόλει, θανὼν
καὶ ζῶν ὁμοίως ἐξ ἐμοῦ τιμήσεται.

ΧΟ. *σοὶ ταῦτ' ἀρέσκει, παῖ Μενοικέως, †Κρέον†,*
τὸν τῆιδε δύσνουν καὶ τὸν εὐμενῆ πόλει·
νόμωι δὲ χρῆσθαι †παντί πού τ'† ἔνεστί σοι
καὶ τῶν θανόντων χὠπόσοι ζῶμεν πέρι.

ΚΡ. *ὡς ἂν σκοποί νυν ἦτε τῶν εἰρημένων.*

ΧΟ. *νεωτέρωι τωι τοῦτο βαστάζειν πρόθες.*

ΚΡ. *ἀλλ' εἴσ' ἕτοιμοι τοῦ νεκροῦ γ' ἐπίσκοποι.*

ΧΟ. *τί δῆτ' ἂν ἄλλο τοῦτ' ἐπεντέλλοις ἔτι;*

ΚΡ. *τὸ μὴ 'πιχωρεῖν τοῖς ἀπιστοῦσιν τάδε.*

ΧΟ. *οὐκ ἔστιν οὕτω μῶρος ὃς θανεῖν ἐρᾶι.*

ΚΡ. *καὶ μὴν ὁ μισθός γ' αὑτος· ἀλλ' ὑπ' ἐλπίδων*
ἄνδρας τὸ κέρδος πολλάκις διώλεσεν.

ΦΥΛΑΞ

ἄναξ, ἐρῶ μὲν οὐχ ὅπως τάχους ὕπο
δύσπνους ἱκάνω κοῦφον ἐξάρας πόδα.
πολλὰς γὰρ ἔσχον φροντίδων ἐπιστάσεις
ποδοῖν κυκλῶν ἐμαυτὸν εἰς ἀναστροφήν·

210 *ἐξ*] *ἔκ γ'* **LRAUY**, verum $L^{s\gamma\rho}$ || **211** *Κρέων* $\mathbf{L}^{ac}\mathbf{RU}^{ac}$, fort. $\mathbf{Zf}^{ac}$ *ποιεῖν* **K** i. m., coni. Martin: cf. 1098 || **212** *καὶ*] *κὰς* Dindorf | lacunam ante 212 statuit Scaliger, post 212 Bruhn || **213** *πού τ'*] *ποτ'* **KS** *τοῦτ'* Erfurdt num *πανταχῆι γ'*? cf. 634 || **214** post hunc versum lacunam statuit Dindorf: ⟨*ἡμεῖς δὲ πρὸς τί δεῦρο συγκεκλήμεθα;*⟩ suppl. A. Schwarz || **215** *ὡς οὖν* Schneidewin | *νῦν* codd. || **217** *γ'* Brunck *τ'* codd. || **218** *ἄλλο* **L** s. l., $\mathbf{Zc}^{ac}$ *ἄλλωι* $\mathbf{Zc}^{pc}$ rell. | *τοῦδ'* $\mathbf{U}^{ac}$, coni. Brunck *τῶιδ'* Gerhard Müller || **219** *'πιχειρεῖν* $\mathbf{L}^{pc}\mathbf{KRS}$ | *ἐπιστοῦσι* $\mathbf{L}^{pc}\mathbf{RZc}$ || **220** *οὕτως* $\mathbf{LZc}^{pc}$ *αὑτος* $\mathbf{Zc}^{ac}$ *ὅτωι* **A** || **221** *γ'* om. **KRZf** || **223** et infra *ΦΥΛΑΞ* Brunck *ΦΥΛΑΞ ΑΓΓΕΛΟΣ* **T** *ΑΓΓΕΛΟΣ* rell. | *τάχους*] *σπουδῆς* Aristot. Rhet. 1415b 20 || **225** *ἔσχον* **LRZcAUY** *αἶρον* $\mathbf{KSZc}^{2\gamma\rho}\mathbf{ZfZoT}$ || **226** *ποδοῖν* Blaydes *ὁδοῖς* codd. | vv. 226 et 232 invicem traiecit M. Schmidt

ψυχὴ γάρ ηὔδα πολλά μοι μυθουμένη·
τάλας, τί χωρεῖς οἷ μολὼν δώσεις δίκην;
τλήμων, μένεις αὖ; κεἰ τάδ' εἴσεται Κρέων
ἄλλου παρ' ἀνδρός, πῶς σὺ δῆτ' οὐκ ἀλγυνῆι;
τοιαῦθ' ἑλίσσων ἤνυτον σχολῆι βραδύς,
χοὕτως ὁδὸς βραχεῖα γίγνεται μακρά.
τέλος γε μέντοι δεῦρ' ἐνίκησεν μολεῖν
σοι, κεἰ τὸ μηδὲν ἐξερῶ, φράσω δ' ὅμως.
τῆς ἐλπίδος γὰρ ἔρχομαι δεδραγμένος
τὸ μὴ παθεῖν ἂν ἄλλο πλὴν τὸ μόρσιμον.
ΚΡ. *τί δ' ἐστὶν ἀνθ' οὗ τήνδ' ἔχεις ἀθυμίαν;*
ΦΥ. *φράσαι θέλω σοι πρῶτα τἀμαυτοῦ· τὸ γὰρ*
πρᾶγμ' οὔτ' ἔδρασ' οὔτ' εἶδον ὅστις ἦν ὁ δρῶν,
οὐδ' ἂν δικαίως ἐς κακὸν πέσοιμί τι.
ΚΡ. *εὖ γε στοχάζηι κἀποφάργνυσαι κύκλωι*
τὸ πρᾶγμα· δηλοῖς δ' ὥς τι σημανῶν νέον.
ΦΥ. *τὰ δεινὰ γάρ τοι προστίθησ' ὄκνον πολύν.*
ΚΡ. *οὔκουν ἐρεῖς ποτ', εἶτ' ἀπαλλαχθεὶς ἄπει;*
ΦΥ. *καὶ δὴ λέγω σοι· τὸν νεκρόν τις ἀρτίως*
θάψας βέβηκε κἀπὶ χρωτὶ διψίαν
κόνιν παλύνας κἀφαγιστεύσας ἃ χρῆν.

229 *τλῆμον* **YZh, T** s.l. | *μένεις* K^{ac} *μὲν εἰς* L^{ac} *μὲν εἷς* L^{pc} *μενεῖς* K^{pc} rell. || **231** *ταχύς* $L^{s\gamma\rho}K^{\gamma\rho}S^{\gamma\rho}$ || **234** *σοί* codd.: cf. 273, O. T. 840 | *κεἴ σοι* Erfurdt | *φράσαι* Wunder || **235** *δεδραγμένος* **AUYZfT** *πεπραγμένος* **LKS** *πεφραγμένος* **RZcZo** || **236** *ἂν* om. KZf^{ac} || **238** *πρῶτα*] *πάντα* **ZfZoT** | *τοὐμαυτοῦ* Dawe || **241** *εὖ γε στιχίζηι* aut anon. ante A. D. 1888 (vide Housman, Class. Rev. 39, 1925, 77) aut Pearson, praeeunte Seyffert (*στοχίζει*) *τι φροιμιάζηι* Bergk ex Aristot. Rhet. 1415b20 | *κἀποφράγνυσαι* codd.: corr. Wunder || **242** *σημανῶν* $SZcZf^{c}ZoT$ *σημαίνων* rell. et pap. Oxy. 875: cf. app. crit. ad Ai. 1225 || **243** ⟨*προστε*⟩*θηκ* et *ὄχλον* pap. ante corr. || **247** *χρή* **LRAUY**

ΚΡ. *τί φής; τίς ἀνδρῶν ἦν ὁ τολμήσας τάδε;*
ΦΥ. *οὐκ οἶδ'· ἐκεῖ γὰρ οὔτε του γενῇδος ἦν*
πλῆγμ', οὐ δικέλλης ἐκβολή· στύφλος δὲ γῆ
καὶ χέρσος, ἀρρὼξ οὐδ' ἐπημαξευμένη
τροχοῖσιν, ἀλλ' ἄσημος οὑργάτης τις ἦν·
ὅπως δ' ὁ πρῶτος ἡμὶν ἡμεροσκόπος
δείκνυσι, πᾶσι θαῦμα δυσχερὲς παρῆν·
ὁ μὲν γὰρ ἠφάνιστο, τυμβήρης μὲν οὔ,
λεπτὴ δ', ἄγος φεύγοντος ὥς, ἐπῆν κόνις.
σημεῖα δ' οὔτε θηρὸς οὔτε του κυνῶν
ἐλθόντος, οὐ σπάσαντος ἐξεφαίνετο.
λόγοι δ' ἐν ἀλλήλοισιν ἐρρόθουν κακοί,
φύλαξ ἐλέγχων φύλακα, κἂν ἐγίγνετο
πληγὴ τελευτῶσ', οὐδ' ὁ κωλύσων παρῆν.
εἷς γάρ τις ἦν ἕκαστος οὑξειργασμένος,
κοὐδεὶς ἐναργής, ἀλλ' ἔφευγε μὴ εἰδέναι.
ἦμεν δ' ἕτοιμοι καὶ μύδρους αἴρειν χεροῖν
καὶ πῦρ διέρπειν, καὶ θεοὺς ὁρκωμοτεῖν
τὸ μήτε δρᾶσαι μήτε τωι ξυνειδέναι
τὸ πρᾶγμα βουλεύσαντι μήτ' εἰργασμένωι.
τέλος δ', ὅτ' οὐδὲν ἦν ἐρευνῶσιν πλέον,
λέγει τις εἷς ὃς πάντας ἐς πέδον κάρα
νεῦσαι φόβωι προύτρεψεν· οὐ γὰρ εἴχομεν
οὔτ' ἀντιφωνεῖν οὔθ' ὅπως δρῶντες καλῶς
πράξαιμεν. ἦν δ' ὁ μῦθος ὡς ἀνοιστέον

249 *που* L^{ac} ‖ **250** *ἐμβολή γρ.* in ΣZc, etiam Zc^{2} s. l., rec. *ἐκβολή* rell. ‖ **251** *ἀρὼξ* **LSZcZf** *ἀρρώξ τ'* Blaydes ‖ **252** *τις* om. **KSZf**^{ac} ‖ **254** *θαῦμα πᾶσι* **R** ‖ **257** *κυνὸς* **R** in lin. ‖ **258** *ἑλῶντος οὐ* **V** *ἕλκοντος ἢ* Jacobs | *ὡς σπάσοντος* Seyffert ‖ **263** *μὴ* Erfurdt *τὸ μὴ* codd. ‖ **264** *αἴρειν*] *ἔχειν* **L**, verum **L** s. l. ‖ **266** *τὸ*] *τῶι* **VZo** *καὶ* **ZfT** ‖ **267** *μηδ'* Blaydes ‖ **269** *εἷς ὃ* Saeger *ἔπος ὃ* Blaydes

σοι τοὔργον εἴη τοῦτο κοὐχὶ κρυπτέον.
καὶ ταῦτ' ἐνίκα, κἀμὲ τὸν δυσδαίμονα
πάλος καθαιρεῖ τοῦτο τἀγαθὸν λαβεῖν.
πάρειμι δ' ἄκων οὐχ ἑκοῦσιν, οἶδ' ὅτι·
στέργει γὰρ οὐδεὶς ἄγγελον κακῶν ἐπῶν.
ΧΟ. ἄναξ, ἐμοί τοι μή τι καὶ θεήλατον
τοὔργον τόδ' ἧι ξύννοια βουλεύει πάλαι.
ΚΡ. παῦσαι, πρὶν ὀργῆς καί με μεστῶσαι λέγων,
μὴ 'φευρεθῆις ἄνους τε καὶ γέρων ἅμα.
λέγεις γὰρ οὐκ ἀνεκτά, δαίμονας λέγων
πρόνοιαν ἴσχειν τοῦδε τοῦ νεκροῦ πέρι.
πότερον ὑπερτιμῶντες ὡς εὐεργέτην
ἔκρυπτον αὐτόν, ὅστις ἀμφικίονας
ναοὺς πυρώσων ἦλθε κἀναθήματα,
καὶ γῆν ἐκείνων καὶ νόμους διασκεδῶν;
ἢ τοὺς κακοὺς τιμῶντας εἰσορᾶις θεούς;
οὐκ ἔστιν. ἀλλὰ ταῦτα καὶ πάλαι πόλεως
ἄνδρες μόλις φέροντες ἐρρόθουν ἐμοί,
κρυφῆι κάρα σείοντες, οὐδ' ὑπὸ ζυγῶι
λόφον δικαίως εἶχον, ὡς στέργειν ἐμέ.
ἐκ τῶνδε τούτους ἐξεπίσταμαι καλῶς
παρηγμένους μισθοῖσιν εἰργάσθαι τάδε.
οὐδὲν γὰρ ἀνθρώποισιν οἷον ἄργυρος
κακὸν νόμισμ' ἔβλαστε. τοῦτο καὶ πόλεις

273 *σοὶ* codd.: cf. 234 ‖ **276** *ἑκοῦσιν δ'* L^{pc} ‖ **278** chori notam habent **KRSZfZoT**, om. **LVAUYZc** ‖ **279** *ἧι* Blaydes *ἡ* codd. ‖ **280** *κἀμὲ* fere codd. ‖ **284** *ὑπερτιμῶντας* **LK** | *εὐεργέτας* **V** ‖ **287** *ἐκείνην* **Zf** | *νόμους*] *δόμους* **Zh** in lin., coni. Herwerden ‖ **291** *κρυφῆι*] *σιγῆι* Meineke ex Plutarcho Mor. 170 E | *ἐπὶ* **VZh**, et **S** in lin. ‖ **292** *νῶτ' εὐλόφως ἔχοντες* Hartung: cf. Eustathium 824, 33; 1536, 50, et Radt, Illinois Class. Stud. VI. 1 (1981) 75–81

πορθεῖ, τόδ' ἄνδρας ἐξανίστησιν δόμων·
τόδ' ἐκδιδάσκει καὶ παραλλάσσει φρένας
χρηστὰς πρὸς αἰσχρὰ πράγμαθ' ἵστασθαι βροτῶν.
πανουργίας δ' ἔδειξεν ἀνθρώποις ἔχειν
καὶ παντὸς ἔργου δυσσέβειαν εἰδέναι.
ὅσοι δὲ μισθαρνοῦντες ἤνυσαν τάδε,
χρόνωι ποτ' ἐξέπραξαν ὡς δοῦναι δίκην.
ἀλλ', εἴπερ ἴσχει Ζεὺς ἔτ' ἐξ ἐμοῦ σέβας,
εὖ τοῦτ' ἐπίστασ', ὅρκιος δέ σοι λέγω,
εἰ μὴ τὸν αὐτόχειρα τοῦδε τοῦ τάφου
εὑρόντες ἐκφανεῖτ' ἐς ὀφθαλμοὺς ἐμούς,
οὐχ ὑμὶν Ἅιδης μοῦνος ἀρκέσει, πρὶν ἂν
ζῶντες κρεμαστοὶ τήνδε δηλώσηθ' ὕβριν,
ἵν' εἰδότες τὸ κέρδος ἔνθεν οἰστέον
τὸ λοιπὸν ἁρπάζητε, καὶ μάθηθ' ὅτι
οὐκ ἐξ ἅπαντος δεῖ τὸ κερδαίνειν φιλεῖν.
ἐκ τῶν γὰρ αἰσχρῶν λημμάτων τοὺς πλείονας
ἀτωμένους ἴδοις ἂν ἢ σεσωμένους.
ΦΥ. *εἰπεῖν τι δώσεις, ἢ στραφεὶς οὕτως ἴω;*
ΚΡ. *οὐκ οἶσθα καὶ νῦν ὡς ἀνιαρῶς λέγεις;*
ΦΥ. *ἐν τοῖσιν ὠσὶν ἢ 'πὶ τῆι ψυχῆι δάκνηι;*
ΚΡ. *τί δὲ ῥυθμίζεις τὴν ἐμὴν λύπην ὅπου;*
ΦΥ. *ὁ δρῶν σ' ἀνιᾶι τὰς φρένας, τὰ δ' ὦτ' ἐγώ.*
ΚΡ. *οἴμ' ὡς ἄλημα δεινὸν ἐκπεφυκὸς εἶ.*

298 sq. *φρένας* et *βροτῶν* inter se permutavit Pallis ‖ **299** *βροτους* sine accentu L in lin., verum L^{s} s. l. *βοτῶν* **K** ‖ **300** *ἄγειν* Wecklein ‖ **305** *τοι* Dawe ‖ **307** *ἐς* A^{pc}UY om. A^{ac} *εἰς* rell. ‖ **308** *μόνος Ἅιδης* **KSVZf** *μοῦνος Ἅιδης* **Zh** ‖ **312** *ἁπάντων* **Zf** ‖ **314** *σεσωμένους* Ven. 470, coni. Wecklein *σεσωσμένους* rell. ‖ **315** *τι*] *δε* **L** in lin. *δὲ* **KSZf** om. **V** ‖ **318** *τί*] *πῇ* **Zf** | *δὲ* **RSVZfZo**, Plut. Mor. 509 C *δαὶ* rell. ‖ **319** *σ'* om. **AUY** ‖ **320** *ἄλημα* novit Σ, et *ἀλ-* incepit L^{ac} *λάλημα* rell. | *δεινὸν* Burges *δῆλον* codd.

ΦY. *οὔκουν τό γ' ἔργον τοῦτο ποιήσας ποτέ.*
KP. *καὶ ταῦτ' ἐπ' ἀργύρωι γε τὴν ψυχὴν προδούς.*
ΦY. *φεῦ·*
ἦ δεινόν, ὧι δοκεῖ γε, καὶ ψευδῆ δοκεῖν.
KP. *κόμψευέ νυν τὴν δόξαν· εἰ δὲ ταῦτα μὴ*
φανεῖτέ μοι τοὺς δρῶντας, ἐξερεῖθ' ὅτι
τὰ δειλὰ κέρδη πημονὰς ἐργάζεται.
ΦY. *ἀλλ' εὑρεθείη μὲν μάλιστ'· ἐὰν δέ τοι*
ληφθῆι τε καὶ μή, τοῦτο γὰρ τύχη κρινεῖ,
οὐκ ἔσθ' ὅπως ὄψει σὺ δεῦρ' ἐλθόντα με.
καὶ νῦν γὰρ ἐκτὸς ἐλπίδος γνώμης τ' ἐμῆς
σωθεὶς ὀφείλω τοῖς θεοῖς πολλὴν χάριν.

XO. *πολλὰ τὰ δεινὰ κοὐδὲν ἀν-* *στρ. α*
θρώπου δεινότερον πέλει·
τοῦτο καὶ πολιοῦ πέραν
πόντου χειμερίωι νότωι
χωρεῖ, περιβρυχίοισιν
περῶν ὑπ' οἴδμασιν, θεῶν
τε τὰν ὑπερτάταν, Γᾶν
ἄφθιτον, ἀκαμάταν ἀποτρύεται,

321 *τό γ'* Reiske *τόδ'* codd. | *τοῦτο*] *εἰμὶ* **Zf** om. **V** | *ποτέ*] *ἐγώ* **T** || **323** *ὧι* **L** in lin., **Zf** om. **V** *ἦν* **L** s.l., rell. | *δοκεῖ* **L** in lin., **RZf** *δοκῆι* **L** s.l., rell. | *δοκεῖν*] *δοκει* **L** *δοκῆι* **K** || **324** *νυν* Dindorf *νῦν* codd. | *κόμψευε τὴν δόκησιν* Moschopoulos *περὶ σχεδῶν* 20, 62 | *εἰ*] *ἢν* **Zf** || **325** *φανῆτέ* **R** || **326** *τὰ δειλὰ* $\mathbf{L}^{s\gamma\rho}\mathbf{S}^{\gamma\rho}$ inter **Σ** *τὰ δεινὰ* codd. *τἄδηλα* Wecklein || **327** *σοι* **L** in lin. || **334** *πέρα* **SZf** || **337** *ἐπ'* **Zf** || **339** *ἀποτρύετ'* **LRZf** *-εθ'* **VZh** verum $\mathbf{L}^{s\gamma\rho}$

ἰλλομένων ἀρότρων ἔτος εἰς ἔτος,
ἱππείωι γένει πολεῦον.

κουφονόων τε φῦλον ὀρ- ἀντ. α
νίθων ἀμφιβαλὼν ἀγρεῖ
καὶ θηρῶν ἀγρίων ἔθνη
πόντου τ' εἰναλίαν φύσιν
σπείραισι δικτυοκλώστοις
περιφραδὴς ἀνήρ· κρατεῖ
δὲ μηχαναῖς ἀγραύλου
θηρὸς ὀρεσσιβάτα, λασιαύχενά θ'
ἵππον ὀχμάζεται ἀμφὶ λόφον ζυγῶι
οὔρειόν τ' ἀκμῆτα ταῦρον.

καὶ φθέγμα καὶ ἀνεμόεν στρ. β
φρόνημα καὶ ἀστυνόμους
ὀργὰς ἐδιδάξατο, καὶ δυσαύλων

340 *ἰλλομένων* $L^{s\gamma\rho}$ *τ' ἰλλομένων* **S** *τ' εἰλομένων* **Zf** *θ' εἰλομένων* **Zo** *εἰλομένων* **R**$Zh^{\gamma\rho}$ *εἰλομένων* **T** *εἰλημένων* **Zc** *ἀπλομένων* L^{pc} *ἀπλωμένων* L^{ac}, *γρ.* **ΣS** *ἀπλωμένων* **VZh** *τ' ἀλομένων* **K** *παλλομένων* **AUY** | *ἔτους εἰς ἔτος* **AUY** *ἔτος ἐξ ἔτους* paraphrasis Σ ‖ **341** *πολεύων* **AUY** et **ΣL** in lemmate *πόλευον* L^{ac} *πολεύον* **Zc** *πωλεῦον* **V**, **Zf** in lin. ‖ **342** *κουφονόων* **S**, **Zf** in lin., codicis **L** gemellus ante corr. *κουφονέον* **V** *κοῦφον ἐόν* L^{ac} *κουφονέων* L^{pc} rell. ‖ **343** *ἀμφιβαλὸν* **L** s. l., **KS** | *ἀγρεῖ* Nauck *ἔχει ἄγει* L^{ac} *ἄγει* L^{pc} rell. *ἀγρεύει* Σ ‖ **344** *καὶ θηρίων* **ZfZo** *θηρίων τ'* **T** | *γένη* **VZh** ‖ **345** *εἰναλίαν* **T**, silet **ΣT** *ἐναλίαν* rell. ‖ **348** *ἀριφραδὴς ἀνὴρ* ex Sophocle novit Eustathius 135, 25 ‖ **349** fort. *μαχαναῖς* (Erfurdt): cf. Ai. 181, at contra Ant. 363, 365 ‖ **350** *ὀρεσσιβάτα* **KAUYT** *ὀρεσιβάτα** $L^{c}Zf^{c}$ *ὀρεσιβάτα* **RS** **ZcZo** *ὀρεσιβάτου* **VZh** ‖ **351** *ὀχμάζεται* Schöne *ἕξεται* **L** *ἕξετ'* **SV** *ἄξετ'* **ZfZh** *ἑλὼν ἄγετ'* **T** *ἄξεται* rell. | *ἀμφίλοφον ζυγὸν* codd.: corr. Schöne et Franz ‖ **352** *ἀκμῆτα* **LZc** *ἀδμῆτα* rell. ‖ **353** *ἠνεμόεν* **T** ‖ **355** *ὁρμὰς* V^{ac}**S**

πάγων ὑπαίθρεια καὶ
δύσομβρα φεύγειν βέλη,
παντοπόρος· ἄπορος ἐπ' οὐδὲν ἔρχεται
τὸ μέλλον· Ἅιδα μόνον
φεῦξιν οὐκ ἐπεύξεται,
νόσων δ' ἀμηχάνων φυγὰς
ξυμπέφρασται.

σοφόν τι τὸ μηχανόεν ἀντ. β
τέχνας ὑπὲρ ἐλπίδ' ἔχων
τοτὲ μὲν κακόν, ἄλλοτ' ἐπ' ἐσθλὸν ἕρπει·
νόμους γεραίρων χθονὸς
θεῶν τ' ἔνορκον δίκαν
ὑψίπολις· ἄπολις ὅτωι τὸ μὴ καλὸν
ξύνεστι τόλμας χάριν·
μήτ' ἐμοὶ παρέστιος
γένοιτο μήτ' ἴσον φρονῶν
ὃς τάδ' ἔρδει.

ἐς δαιμόνιον τέρας ἀμφινοῶ
τόδε· πῶς εἰδὼς ἀντιλογήσω
τήνδ' οὐκ εἶναι παῖδ' Ἀντιγόνην;
ὦ δύστηνος καὶ δυστήνου
πατρὸς Οἰδιπόδα,

356 *ὑπαίθρεια* Boeckh *αἴθρια* codd. *ἐναίθρεια* voluit Helmke (*ἐναίθρῖα*) || 357 *φεύγει* **K** || 361 *μόνωι* **L** in lin., *ον* sscr. L[1] *μόνου* Nauck || 362 *ἐπάξεται* codd.: corr. Heindorf *ἐπάισεται* Schneidewin || 365 *σοφόν*] *δεινόν* **T**, coni. Heimsoeth | *τι*] *τοι* **KZh** || 366 *ἐλπίδας* **SV** | *ἔχον* **SVZc** || 367 *τοτὲ* **LV** *καὶ γὰρ ποτὲ* **T** *ποτὲ* rell. | *ἄλλοτε δ'* **S** *ἄλλοτ' αὖθις γ'* **T** || 368 *γεραίρων* Reiske *παρεῖρον* **S** *παρείρωνος* **R** *ὁ παρείρων* **Zh** *παρείρων* rell. *τ' ἀείρων* Schneidewin || 369 om. **T** || 375 *ἔρδοι* codicis **L** gemellus, et fort. L[pc] || 379 *παῖ* vel *κἀκ* Meineke

τί ποτ'; οὐ δή που σέ γ' ἀπιστοῦσαν
τοῖς βασιλείοις ⟨⏑⟩ ἄγουσι νόμοις
καὶ ἐν ἀφροσύνηι καθελόντες;

ΦΥ. ἥδ' ἔστ' ἐκείνη τοὔργον ἡ 'ξειργασμένη·
τήνδ' εἵλομεν θάπτουσαν· ἀλλὰ ποῦ Κρέων;
ΧΟ. ὅδ' ἐκ δόμων ἄψορρος εἰς δέον περᾶι.
ΚΡ. τί δ' ἔστι; ποίαι ξύμμετρος προὔβην τύχηι;
ΦΥ. ἄναξ, βροτοῖσιν οὐδέν ἐστ' ἀπώμοτον·
ψεύδει γὰρ ἡ 'πίνοια τὴν γνώμην, ἐπεὶ
σχολῆι ποθ' ἥξειν δεῦρ' ἂν ἐξηύχουν ἐγὼ
ταῖς σαῖς ἀπειλαῖς αἷς ἐχειμάσθην τότε.
ἀλλ', ἡ γὰρ εὐκτὸς καὶ παρ' ἐλπίδας χαρὰ
ἔοικεν ἄλληι μῆκος οὐδὲν ἡδονῆι,
ἥκω, δι' ὅρκων καίπερ ὢν ἀπώμοτος,
κόρην ἄγων τήνδ', ἣ καθηιρέθη τάφον
κοσμοῦσα. κλῆρος ἐνθάδ' οὐκ ἐπάλλετο,
ἀλλ' ἔστ' ἐμὸν θοὔρμαιον, οὐκ ἄλλου, τόδε.
καὶ νῦν, ἄναξ, τήνδ' αὐτός, ὡς θέλεις, λαβὼν
καὶ κρῖνε κἀξέλεγχ'· ἐγὼ δ' ἐλεύθερος
δίκαιός εἰμι τῶνδ' ἀπηλλάχθαι κακῶν.
ΚΡ. ἄγεις δὲ τήνδε τῶι τρόπωι, πόθεν λαβών;
ΦΥ. αὕτη τὸν ἄνδρ' ἔθαπτε· πάντ' ἐπίστασαι.
ΚΡ. ἦ καὶ ξυνίης καὶ λέγεις ὀρθῶς ἃ φῄς;

382 *βασιλείοισιν* Tournebou | *ἀπάγουσι* Boeckh *ἀνάγουσι* Pflugk ‖ **384** *ἡ 'ξειργασμένη* **Zo** *ἐξειργασμένη* rell. ‖ **385** *εἴδομεν* **K**: cf. 404 ‖ **386** *δέον*] *μέσον* **LRZc** (*δέον* Zc^{2gl}) ‖ **387** *προὔβην* L^s s. l. *ἐξέβην* LZc^{ac} *ἐξέβη* RZc^{pc} *προὔβη* $Zc^{2γρ}$ rell. ‖ **389** *ψεύδη* L^{ac}**KR**, et **S** s. l. ‖ **390** *ποθ'*] *γ' ἂν* **T** *γὰρ* **Zf** in ras. ‖ **391** *ἐχείμασας* **V** ‖ **392** *εὐκτὸς* Bothe *ἐκτὸς* codd. | *ἐλπίδα* $L^{ac}V^{ac}Zf^{ac}$ ‖ **394** *ὅρκου* L^1 s. l., **R** ‖ **395** *καθευρέθη* codd.: corr. anon. A. D. 1818: cf. 406 ‖ **396** *κλῆρος δ'* **ZfZh** ‖ **398** *ὡς*] *ἧι* Blaydes ‖ **402** *ἐπίστασαι* **LV** *ἐπίστασο* rell. ‖ **403** *ξυνίης* U^{ac}**ZfT** *ξυνίεις* rell.

ΦΥ. ταύτην γ' ἰδὼν θάπτουσαν ὃν σὺ τὸν νεκρὸν
ἀπεῖπας. ἆρ' ἔνδηλα καὶ σαφῆ λέγω;
ΚΡ. καὶ πῶς ὁρᾶται κἀπίληπτος ἡιρέθη;
ΦΥ. τοιοῦτον ἦν τὸ πρᾶγμ'· ὅπως γὰρ ἥκομεν
πρὸς σοῦ τὰ δείν' ἐκεῖν' ἐπηπειλημένοι,
πᾶσαν κόνιν σήραντες ἣ κατεῖχε τὸν
νέκυν, μυδῶν τε σῶμα γυμνώσαντες εὖ,
καθήμεθ' ἄκρων ἐκ πάγων ὑπήνεμοι,
ὀσμὴν ἀπ' αὐτοῦ μὴ βάληι πεφευγότες.
⟨. . . . .⟩
ἐγερτὶ κινῶν ἄνδρ' ἀνὴρ ἐπιρρόθοις
κακοῖσιν, εἴ τις τοῦδ' ἀκηδήσοι πόνου.
χρόνον τάδ' ἦν τοσοῦτον, ἔστ' ἐν αἰθέρι
μέσωι κατέστη λαμπρὸς ἡλίου κύκλος
καὶ καῦμ' ἔθαλπε· καὶ τότ' ἐξαίφνης χθονὸς
τυφὼς ἀείρας σκηπτόν, οὐράνιον ἄχος,
πίμπλησι πεδίον, πᾶσαν αἰκίζων φόβην
ὕλης πεδιάδος, ἐν δ' ἐμεστώθη μέγας
αἰθήρ· μύσαντες δ' εἴργομεν θείαν νόσον.
καὶ τοῦδ' ἀπαλλαγέντος ἐν χρόνωι μακρῶι,
ἡ παῖς ὁρᾶται, κἀνακωκύει πικρά,

404 *ἰδὼν* Par. 2886, coni. Brunck *εἶδον* **RVZc** *ἴδον* **Zf**^{c} rell. ‖ **405** *ἆρ'* **LAUY** *ὡς* **L** s. l., **ZcT** *ὥς ῥ'* **KSZo** *ὡς ἄρ'* **R** *ὧρ'* **V** ut vid. *αρ* in *ὡς* corr. **Zf** ‖ **406** *ἡιρέθη* legit Σ, et aut hoc aut *ηὑρέθη* vult **L** s. l. *ηὑρέθη* **Y** *εὑρέθη* **L** in lin., rell. ‖ **410** *αὖ* **V**, coni. Reiske ‖ **412** *βάλοι* Étienne: cf. *ἀκηδήσοι* infra | post hunc versum lacunam indicavit Meineke ‖ **413** *κινῶν*] *κεῖνον* **LK**^{ac} *κεῖνων* **K**^{pc} *νεικῶν* Nauck ‖ **414** *ἀφειδήσοι* codd. (*-ει* **R**): corr. Bonitz ‖ **420** *δ'*] *θ'* **LR** ‖ **421** *εἴχομεν* codd.: corr. Blaydes ‖ **422** *ἀπαλλαγέντες* **RZh**, **S** in lin., olim coni. Schaefer (*-έντος* **S** s. l., rell.) ‖ **423** *πικρά*, Dawe *πικρᾶς* codd. (*πικράς* **L**^{sgl} i. m. ad *κακὰς* 427) *πικρῶς* Bothe

ὄρνιθος ὀξὺν φθόγγον, ὡς ὅταν κενῆς
εὐνῆς νεοσσῶν ὀρφανὸν βλέψηι λέχος·
οὕτω δὲ χαὔτη, ψιλὸν ὡς ὁρᾶι νέκυν,
γόοισιν ἐξῴμωξεν, ἐκ δ' ἀρὰς κακὰς
ἠρᾶτο τοῖσι τοὔργον ἐξειργασμένοις.
καὶ χερσὶν εὐθὺς διψίαν φέρει κόνιν,
ἔκ τ' εὐκροτήτου χαλκέας ἄρδην πρόχου
χοαῖσι τρισπόνδοισι τὸν νέκυν στέφει.
χἠμεῖς ἰδόντες ἱέμεσθα, σὺν δέ νιν
θηρώμεθ' εὐθὺς οὐδὲν ἐκπεπληγμένην,
καὶ τάς τε πρόσθεν τάς τε νῦν ἠλέγχομεν
πράξεις· ἄπαρνος δ' οὐδενὸς καθίστατο,
ἅμ' ἡδέως ἔμοιγε κἀλγεινῶς ἅμα.
τὸ μὲν γὰρ αὐτὸν ἐκ κακῶν πεφευγέναι
ἥδιστον· ἐς κακὸν δὲ τοὺς φίλους ἄγειν
ἀλγεινόν. ἀλλὰ πάντα ταῦθ' ἥσσω λαβεῖν
ἐμοὶ πέφυκε τῆς ἐμῆς σωτηρίας.
ΚΡ. σὲ δή, σὲ τὴν νεύουσαν ἐς πέδον κάρα,
φῄς, ἢ καταρνῆι μὴ δεδρακέναι τάδε;
ΑΝ. καὶ φημὶ δρᾶσαι κοὐκ ἀπαρνοῦμαι τὸ μή.
ΚΡ. σὺ μὲν κομίζοις ἂν σεαυτὸν ἧι θέλεις
ἔξω βαρείας αἰτίας ἐλεύθερον·
σὺ δ' εἰπέ μοι, μὴ μῆκος, ἀλλὰ συντόμως,
ᾔδησθα κηρυχθέντα μὴ πράσσειν τάδε;

424 *ὥς, ὅταν* Winckelmann ‖ **429** *αὖθις* Reiske | *διψὰν* **LRZc**^{ac} *ξηρὰν* **L** s. l. **Zc**^{2gl} | *ἐκφέρει* **LRZc**^{ac} vera **L**^{syρ}**Zc**^{2pc} rell. ‖ **430** *χαλκέως* **KAUY** verum in ras. **Zf** ‖ **432** *ἰδόντες δ'* **AUY** ‖ **434** *πρόσθε* **LSV** ‖ **436** *ἀλλ' ἡδέως* codd.: corr. Dindorf ‖ **439** *ταῦτα πάνθ'* **RSVZfZh** *τἄλλα πάνθ'* Herwerden ‖ **440** *πέφυκεν* **L** ‖ **444** *οἷ* Zo, coni. Meineke ‖ **446** *συντόμως* **L**, **K** s. l., **Zc** in lin. *σύντομον* **S**, **Zc**^{1} s. l. *σύντομα* **K** in lin., rell. ‖ **447** *ᾔδησθα* Cobet *ἤ(ι)δεις τὰ* codd. | *κηρυχθὲν τὸ* Blaydes | *δράσειν* **S**, ex quo *δρᾶσαι* conicias

AN. ἤιδη, τί δ' οὐκ ἔμελλον; ἐμφανῆ γὰρ ἦν.
KP. καὶ δῆτ' ἐτόλμας τούσδ' ὑπερβαίνειν νόμους;
AN. οὐ γάρ τί μοι Ζεὺς ἦν ὁ κηρύξας τάδε,
οὐδ' ἡ ξύνοικος τῶν κάτω θεῶν Δίκη
τοιούσδ' ἐν ἀνθρώποισιν ὥρισεν νόμους·
οὐδὲ σθένειν τοσοῦτον ᾠόμην τὰ σὰ
κηρύγμαθ' ὥστ' ἄγραπτα κἀσφαλῆ θεῶν
νόμιμα δύνασθαι θνητὸν ὄνθ' ὑπερδραμεῖν·
οὐ γάρ τι νῦν γε κἀχθές, ἀλλ' ἀεί ποτε
ζῆι ταῦτα, κοὐδεὶς οἶδεν ἐξ ὅτου 'φάνη.
τούτων ἐγὼ οὐκ ἔμελλον, ἀνδρὸς οὐδενὸς
φρόνημα δείσασ', ἐν θεοῖσι τὴν δίκην
δώσειν. θανουμένη γὰρ ἐξήιδη, τί δ' οὔ;
κεἰ μὴ σὺ προυκήρυξας· εἰ δὲ τοῦ χρόνου
πρόσθεν θανοῦμαι, κέρδος αὔτ' ἐγὼ λέγω.
ὅστις γὰρ ἐν πολλοῖσιν, ὡς ἐγώ, κακοῖς
ζῆι, πῶς ὅδ' οὐχὶ κατθανὼν κέρδος φέρει;
οὕτως ἔμοιγε τοῦδε τοῦ μόρου τυχεῖν
παρ' οὐδὲν †ἄλγος· ἀλλ' ἄν, εἰ τὸν ἐξ ἐμῆς

448 *ἤιδη* edd.: *ἤιδειν* codd. | *ἐκφανῆ* L in lin. || **449** *νόμους*] *ὅρους* S || **450** *κηρύσσων* Clem. Alex. Strom. 4, 48, 2: *κηρύξας* idem 5, 84, 3 || **451** *ξύνεδρος* Blaydes || **452** *οἵ τούσδ' … ὥρισαν* codd. (*οἵ τούσδ' ἐν* in ras. scr. Zf): corr. Valckenaer *οὐ τούσδ'* Wieseler | versum del. Wunder || **454** *ὥστ' ἔγγραπτα* **Zh** *ὡς τἄγραπτα* Boeckh: *τὰ γραπτά* novit Σ || **455** *θνητῶν τιν' ὑπεκδραμεῖν* **R** *θνητά γ' ὄνθ' ὑπερδραμεῖν* Bruhn, praeeunte Bothe (*φύνθ'*) || **456** *γάρ*] *μήν* Plut. Mor. 731 C | *γε*] *τε* rec. et codd. QY Aristot. Rhet. 1373b, ubi *γε* A, *σε β* || **457** *τοῦτο* Aristot. Rhet. 1373b || **458** *ταῦτ' οὖν* Aristot. Rhet. 1375b | *ἐγὼ* **AUYZf**^{ac} *ἔγωγ'* **KRZcZo** *ἔγ'* **LSVZf**^{pc}**T** || **460** *ἐξήιδειν* codd.: corr. Brunck || **462** *αὔτ'* **ZfZoT** *αὐτ'* rell. || **466** *παρ' οὐδέν· ἄλγος* Nauck

μητρὸς θανόντ' ἄθαπτον ἠισχόμην νέκυν †
κείνοις ἂν ἤλγουν· τοῖσδε δ' οὐκ ἀλγύνομαι.
σοὶ δ' εἰ δοκῶ νῦν μῶρα δρῶσα τυγχάνειν,
σχεδόν τι μώρωι μωρίαν ὀφλισκάνω.
ΧΟ. *δηλοῖ τὸ μὲν λῆμ' ὠμὸν ἐξ ὠμοῦ πατρὸς*
πεφυκός, εἴκειν δ' οὐκ ἐπίσταται κακοῖς.
ΚΡ. *ἀλλ' ἴσθι τοι τὰ σκλήρ' ἄγαν φρονήματα*
πίπτειν μάλιστα· καὶ τὸν ἐγκρατέστατον
σίδηρον ὀπτὸν ἐκ πυρὸς περισκελῆ
θραυσθέντα καὶ ῥαγέντα πλεῖστ' ἂν εἰσίδοις.
σμικρῶι χαλινῶι δ' οἶδα τοὺς θυμουμένους
ἵππους καταρτυθέντας· οὐ γὰρ ἐκπέλει
φρονεῖν μέγ' ὅστις δοῦλός ἐστι τῶν πέλας.
αὕτη δ' ὑβρίζειν μὲν τότ' ἐξηπίστατο
νόμους ὑπερβαίνουσα τοὺς προκειμένους·
ὕβρις δ', ἐπεὶ δέδρακεν, ἥδε δευτέρα,
τούτοις ἐπαυχεῖν καὶ δεδρακυῖαν γελᾶν.
ἦ νῦν ἐγὼ μὲν οὐκ ἀνήρ, αὕτη δ' ἀνήρ,
εἰ ταῦτ' ἀνατεὶ τῆσδε κείσεται κάραι.
ἀλλ' εἴτ' ἀδελφῆς εἴθ' ὁμαιμονεστέρα

467 *ἠισχόμην* **LKRS** *ἠνσχόμην* **AUY** *ἠνειχόμην* **V**, et **Zh** in lin. *ἰσχόμην* **ZcZfT** *ἠνεσχόμην* **Zo**, et **Zh** s. l. et *ἐσχόμην* et *ἠσχόμην* novit Eustathius 529, 20 *ἤικισαν κύνες* Blaydes: cum *ἤισχυναν* iam Semitelos ‖ **468** *δ'*] *γ'* **S** ‖ **471** *μὲν λῆμ'* (*λῆμ'* iam Blaydes) Page *φώνημ'* **AU**$^{\gamma\rho}$**Y** (errore ex *φρόνημ'* orto) *γέννημ'* **A**$^{\gamma\rho}$**Y**$^{\gamma\rho}$ rell. ‖ **472** *πεφυκός* Mekler *τῆς παιδός* codd. ‖ **474** *πίπτει* **AUY** ‖ **478–481** om. **V** ‖ **478** *καταρτισθέντας* Blaydes: *-τιθέντας* Ven. 616 et 617 *-υσθέντας* Flor. Ricc. 77 ‖ **480** *τότ'*] *τόδ'* **K**^{pc}, coni. Sehrwald *ποτ'* **R** ‖ **482–483** inverso ordine **L**^{ac}, corr. **L**^{s} ‖ **484** *νῦν γ'* **T** ‖ **485** *ἀνατὶ* **LK** | *τῆσδε* **Zo** *τῆιδε* rell. | *κείσεται*] *κἀκεῖσε* **A** | *κάραι* Dawe: *κάρηι* iam Östrand *κράτηι* **L** *κράτη* rell. ‖ **486** *ὁμαιμονεστέρα* **L**^{pc}**RZf**^{ac} et codicis **L** gemellus *-αις* **L**^{ac} *-ας* **Zf**^{pc} rell.

τοῦ παντὸς ἡμῖν Ζηνὸς ἑρκείου κυρεῖ,
αὐτή τε χὴ ξύναιμος οὐκ ἀλύξετον
μόρου κακίστου· καὶ γὰρ οὖν κείνην ἴσον
ἐπαιτιῶμαι τοῦδε βουλεῦσαι τάφου.
καί νιν καλεῖτ'· ἔσω γὰρ εἶδον ἀρτίως
λυσσῶσαν αὐτὴν οὐδ' ἐπήβολον φρενῶν.
φιλεῖ δ' ὁ θυμὸς πρόσθεν ᾑρῆσθαι κλοπεὺς
τῶν μηδὲν ὀρθῶς ἐν σκότωι τεχνωμένων.
μισῶ γε μέντοι χὤταν ἐν κακοῖσί τις
ἁλοὺς ἔπειτα τοῦτο καλλύνειν θέληι.
ΑΝ. *θέλεις τι μεῖζον ἢ κατακτεῖναί μ' ἑλών;*
ΚΡ. *ἐγὼ μὲν οὐδέν· τοῦτ' ἔχων ἅπαντ' ἔχω.*
ΑΝ. *τί δῆτα μέλλεις; ὡς ἐμοὶ τῶν σῶν λόγων*
ἀρεστὸν οὐδέν, μηδ' ἀρεσθείη ποτέ·
οὕτω δὲ καὶ σοὶ τἄμ' ἀφανδάνοντ' ἔφυ.
καίτοι πόθεν κλέος γ' ἂν εὐκλεέστερον
κατέσχον ἢ τὸν αὐτάδελφον ἐν τάφωι
τιθεῖσα; τούτοις τοῦτο πᾶσιν ἁνδάνειν
λέγοιμ' ἄν, εἰ μὴ γλῶσσαν ἐγκλήιοι φόβος.
ἀλλ' ἡ τυραννὶς πολλά τ' ἄλλ' εὐδαιμονεῖ
κἄξεστιν αὐτῆι δρᾶν λέγειν θ' ἃ βούλεται.
ΚΡ. *σὺ τοῦτο μούνη τῶνδε Καδμείων ὁρᾷς.*
ΑΝ. *ὁρῶσι χοὖτοι, σοὶ δ' ὑπίλλουσι στόμα.*

487 *ἑρκείου* **KZf** et Eustathius 1930, 30 *ἑρκίου* rell. || **493** *κλοπαῖς* **VZcZfZoT** || **494** *ὀρθὸν* Tournier: *τῶν λάθρα τι κακὸν τεχνωμένων* **ΣL** || **500** *ἀρέστ' εἴη* Elmsley: *ἀρεστείη* Berol. 185 || **504** *ἁνδάνειν* **AUY** *ἁνδάνει* rell. || **505** *λέγοιμ'* Lloyd-Jones *λέγοιτ'* codd. *κλύοις* Herwerden | *ἐγκλήιοι* Schaefer *ἐγκλήσοι* $\mathbf{K}^{ac}$ *-ήισοι* $\mathbf{K}^{pc}$ *ἐγκείσοι* $\mathbf{Zc}^{ac}$ *ἐγκλείσοι* $\mathbf{Zc}^{pc}$ rell. et Eustath. 1391, 64 || **507** *αὐτῆι* om. $\mathbf{K}^{ac}\mathbf{Zf}^{ac}$ | *δρᾶν* om. $\mathbf{L}^{ac}\mathbf{K}$ || **508** *μόνη* $\mathbf{KRSVZf}^{ac}\mathbf{Zo}$: *μόνη σὺ τοῦτο* Dindorf || **509** *χοἴδε* **AUY** | *ἰπίλλουσιν* **L** et **ΣL** *ὑπείλουσι* **K** *ὑπειλλοῦσι* $\mathbf{Zc}^{ac}$, accentum corr. $\mathbf{Zc}^{2}$

ΚΡ. σὺ δ' οὐκ ἐπαιδῆι, τῶνδε χωρὶς εἰ φρονεῖς;
ΑΝ. οὐδὲν γὰρ αἰσχρὸν τοὺς ὁμοσπλάγχνους σέβειν.
ΚΡ. οὔκουν ὅμαιμος χὠ καταντίον θανών;
ΑΝ. ὅμαιμος ἐκ μιᾶς τε καὶ ταὐτοῦ πατρός.
ΚΡ. πῶς δῆτ' ἐκείνωι δυσσεβῆ τιμᾶις χάριν;
ΑΝ. οὐ μαρτυρήσει ταῦθ' ὁ κατθανὼν νέκυς.
ΚΡ. εἴ τοί σφε τιμᾶις ἐξ ἴσου τῶι δυσσεβεῖ.
ΑΝ. οὐ γάρ τι δοῦλος, ἀλλ' ἀδελφὸς ὤλετο.
ΚΡ. πορθῶν γε τήνδε γῆν· ὁ δ' ἀντιστὰς ὕπερ.
ΑΝ. ὅμως ὅ γ' Ἅιδης τοὺς νόμους τούτους ποθεῖ.
ΚΡ. ἀλλ' οὐ τὸ χρηστὸν τῶι κακῶι λαχεῖν ἴσα.
ΑΝ. τίς οἶδεν εἰ κάτω 'στὶν εὐαγῆ τάδε;
ΚΡ. οὔτοι ποθ' οὐχθρός, οὐδ' ὅταν θάνηι, φίλος.
ΑΝ. οὔτοι συνέχθειν ἀλλὰ συμφιλεῖν ἔφυν.
ΚΡ. κάτω νυν ἐλθοῦσ', εἰ φιλητέον, φίλει
κείνους· ἐμοῦ δὲ ζῶντος οὐκ ἄρξει γυνή.

ΧΟ. καὶ μὴν πρὸ πυλῶν ἥδ' Ἰσμήνη,
φιλάδελφα κάτω δάκρυ' εἰβομένη·
νεφέλη δ' ὀφρύων ὕπερ αἱματόεν
ῥέθος αἰσχύνει
τέγγουσ' εὐῶπα παρειάν.

512 *καταντίον* AUY *καταναντίον* LK *κατ' ἀντίων* Zc *κατὰ χθονὸς* RSVZfZoT || 513 *γε* Hermann | *κἀκ* Bergk || 514 *δυσσεβεῖ* KRAUY *δυσσεβῶι* L in lin., *ηι* sscr. L^1 || 515 *κατθανὼν*] *κατὰ χθονὸς* ZfZoT || 516 *τοι* SVUYZf^{ac}Zo *τι* RAZcZf^{pc} *τοῖς* L *του* K | *δυσμενεῖ* R || 518 *γε*] *δὲ* LKRZc || 519 *ὁμῶς* Mekler | *τούτους*] *ἴσους* L$^{s\gamma\varrho}$ || 520 *τὸ χρηστὸν* Dawe *ὁ χρηστὸς* codd. | *τῶν κακῶν* V *τῶι καλῶι* Zc | *λαβεῖν* Zf^{c}ZoT | *ἴσα* Bergk *ἴσον* ZcZfZoT, et Zh in lin. *ἴσων* Zh s. l. *ἴσος* rell. || 521 *κάτω 'στὶν*] *κάτωθεν* L$^{s\gamma\varrho}$S$^{\gamma\varrho}$ || 522 *οὐδ'* LRVZcZf^{ac} *οὔθ'* Zf^{pc} rell. || 527 *φιλάδελφ' οἴκτωι* Bruhn | *δάκρυ' εἰβομένη* T *δάκρυα* rell., dein *λειβόμενα* L *-μένα* AU^{pc}YZc *-μένη* U^{ac} rell.

ΚΡ. σὺ δ', ἣ κατ' οἴκους ὡς ἔχιδν' ὑφειμένη
λήθουσά μ' ἐξέπινες, οὐδ' ἐμάνθανον
τρέφων δύ' ἄτα κἀπαναστάσεις θρόνων,
φέρ' εἰπὲ δή μοι, καὶ σὺ τοῦδε τοῦ τάφου
φήσεις μετασχεῖν, ἢ 'ξομῆι τὸ μὴ εἰδέναι;
ΙΣ. δέδρακα τοὖργον, εἴπερ ἥδ'· ὁμορροθῶ,
καὶ ξυμμετίσχω καὶ φέρω τῆς αἰτίας.
ΑΝ. ἀλλ' οὐκ ἐάσει τοῦτό γ' ἡ Δίκη σ', ἐπεὶ
οὔτ' ἠθέλησας οὔτ' ἐγὼ 'κοινωσάμην.
ΙΣ. ἀλλ' ἐν κακοῖς τοῖς σοῖσιν οὐκ αἰσχύνομαι
ξύμπλουν ἐμαυτὴν τοῦ πάθους ποιουμένη.
ΑΝ. ὧν τοὖργον Ἅιδης χοἰ κάτω ξυνίστορες·
λόγοις δ' ἐγὼ φιλοῦσαν οὐ στέργω φίλην.
ΙΣ. μήτοι, κασιγνήτη, μ' ἀτιμάσηις τὸ μὴ οὐ
θανεῖν τε σὺν σοὶ τὸν θανόντα θ' ἁγνίσαι.
ΑΝ. μή μοι θάνηις σὺ κοινά, μηδ' ἃ μὴ 'θιγες
ποιοῦ σεαυτῆς· ἀρκέσω θνήισκουσ' ἐγώ.
ΙΣ. καὶ τίς βίος μοι σοῦ λελειμμένηι φίλος;
ΑΝ. Κρέοντ' ἐρώτα· τοῦδε γὰρ σὺ κηδεμών.
ΙΣ. τί ταῦτ' ἀνιᾶις μ' οὐδὲν ὠφελουμένη;
ΑΝ. ἀλγοῦσα μὲν δῆτ', εἰ γελῶ γ', ἐν σοὶ γελῶ.
ΙΣ. τί δῆτ' ἂν ἀλλὰ νῦν σ' ἔτ' ὠφελοῖμ' ἐγώ;
ΑΝ. σῶσον σεαυτήν· οὐ φθονῶ σ' ὑπεκφυγεῖν.
ΙΣ. οἴμοι τάλαινα, κἀμπλάκω τοῦ σοῦ μόρου;
ΑΝ. σὺ μὲν γὰρ εἵλου ζῆν, ἐγὼ δὲ κατθανεῖν.

531 *ὑφείμενον* **R** *ὑφημένη* Brunck (*καθεζομένη* Σ) || 532 *λήθουσ' αἷμ'* **KRS**, verum **S**^{γρ} (*τῶν ἀνθρώπων ἐκπίνει τὸ αἷμα* Σ) || 533 *ἄτας* **SAUY** || 535 *'ξομῆι* **AUYZo** *ἐξομῆι* rell. | *μ' εἰδέναι* **LZc** || 536 *ἥδ' ὁμορροθεῖ* codd.: corr. Nauck || 546 *μηδ'* **LKRZf** *μήθ'* rell. || 548 *βίου μοι σοῦ λελειμμένης πόθος* **R** || 551 *γελῶ γ'* Heath *γελῶτ'* **LRS** *γέλω* τ'* **Zf** *γέλωτ'* rell.

ΙΣ. ἀλλ' οὐκ ἐπ' ἀρρήτοις γε τοῖς ἐμοῖς λόγοις.
ΑΝ. καλῶς σὺ μὲν τοῖς, τοῖς δ' ἐγὼ 'δόκουν φρονεῖν.
ΙΣ. καὶ μὴν ἴση νῷν γ' ἐστιν ἡ 'ξαμαρτία.
ΑΝ. θάρσει· σὺ μὲν ζῇς, ἡ δ' ἐμὴ ψυχὴ πάλαι
τέθνηκεν, ὥστε τοῖς θανοῦσιν ὠφελεῖν.
ΚΡ. τὼ παῖδε φημὶ τώδε τὴν μὲν ἀρτίως
ἄνουν πεφάνθαι, τὴν δ' ἀφ' οὗ τὰ πρῶτ' ἔφυ.
ΙΣ. οὐ γάρ ποτ', ὦναξ, οὐδ' ὃς ἂν βλάστηι μένει
νοῦς τοῖς κακῶς πράσσουσιν, ἀλλ' ἐξίσταται.
ΚΡ. σοὶ γοῦν, ὅθ' εἵλου σὺν κακοῖς πράσσειν κακά.
ΙΣ. τί γὰρ μόνηι μοι τῆσδ' ἄτερ βιώσιμον;
ΚΡ. ἀλλ' ἥδε μέντοι μὴ λέγ'· οὐ γὰρ ἔστ' ἔτι.
ΙΣ. ἀλλὰ κτενεῖς νυμφεῖα τοῦ σαυτοῦ τέκνου;
ΚΡ. ἀρώσιμοι γὰρ χἀτέρων εἰσὶν γύαι.
ΙΣ. οὐχ ὥς γ' ἐκείνωι τῆιδέ τ' ἦν ἡρμοσμένα.
ΚΡ. κακὰς ἐγὼ γυναῖκας υἱέσι στυγῶ.
ΙΣ. ὦ φίλταθ' Αἷμων, ὥς σ' ἀτιμάζει πατήρ.

557 *τοῖς*^{1} **AUY** *τοι* **L**^{c}, **K** s. l., **ΣL** in lemmate *σοι* novit **ΣL** (*σεαυτῆι*) *τ' οἷον* **SVZcZh** *θοῦ* **KZfZoT** *τ' οὐ* **R** ‖ **558** *νῷν γ'* Anon. AD 1818 *νῷν* codd. ‖ **559** *θάρρει* **SVZcZoT** ‖ **560** *ὥς σε* Wieseler | *ὠφελεῖς* Dobree ‖ **563** *οὐ γάρ ποτ'*] *ἀλλ' οὐ γὰρ* Plutarchus Phoc. 1, Mor. 460 E *ἀλλὰ γὰρ* Greg. Cor. 417 | *βλάστηι* **Zc** *βλαστῆι* rell. ‖ **564** *πράττουσιν* **AUY**, Greg. Cor. *πράξασιν* Plut. Mor. 460 E ‖ **565** *σοὶ*] *καὶ σοὶ* **L**^{ac}, errore e *ναὶ* orto *σὺ* **S** | *κακοῖς* **LKRSVZc** *κακῆι* **L** s. l., **UYZfZoT** *κακῶι* **A** ‖ **567** *μέντοι* **S**, coni. Brunck *μέντοι σοι* **Zf** *μέν σοι* rell. ‖ **568** *νυμφία* **LKRS**, **Zf** in lin. ‖ **569** *ἀρώσιμοι* **LSVZcT** *-μαι* **AUY** *ἀρόσιμοι* **L** s. l., **KRZfZo** | *γύαι* **LAUZf**^{pc}**ZoT** *γυῖαι* **KRSVZf**^{ac} *γύναι* **Y** *γόναι* **Zc** ‖ **570** *γ'* om. **KR** | *εἱρμοσμένα* **L** in lin., verum **L**^{s} s. l. *ἁρμοσμένα* **R** *ἡρμοσμένον* **Zo** ‖ **571** *υἱέσι* **ZoT** *υἱάσι(ν)* rell. ‖ **572** *Αἷμων* **LRST** *Αἷμον* rell. | *σ'* om. **UZc**

ΚΡ. ἄγαν με λυπεῖς καὶ σὺ καὶ τὸ σὸν λέχος.
ΙΣ. ἦ γὰρ στερήσεις τῆσδε τὸν σαυτοῦ γόνον;
ΚΡ. Ἅιδης ὁ δαίσων τούσδε τοὺς γάμους ἔφυ.
ΙΣ. δεδογμέν', ὡς ἔοικε, τήνδε κατθανεῖν.
ΚΡ. καὶ σοί γε κἀμοί. μὴ τριβὰς ἔτ', ἀλλά νιν
κομίζετ' εἴσω, δμῶες· ἐκ δὲ τοῦδε χρὴ
γυναῖκας εἶναι τάσδε μηδ' ἀνειμένας
⟨..............................⟩
[φεύγουσι γάρ τοι χοἰ θρασεῖς, ὅταν πέλας
ἤδη τὸν Ἅιδην εἰσορῶσι τοῦ βίου.]

ΧΟ. εὐδαίμονες οἷσι κακῶν ἄγευστος αἰών· στρ. α
οἷς γὰρ ἂν σεισθῆι θεόθεν δόμος, ἄτας
οὐδὲν ἐλλείπει, γενεᾶς ἐπὶ πλῆθος ἕρπον·
ὅμοιον ὥστε † ποντίας ἁλὸς †
οἶδμα, δυσπνόοις ὅταν
Θρήισσηισιν ἔρεβος ὕφαλον ἐπιδράμηι πνοαῖς,
κυλίνδει βυσσόθεν
κελαινὰν θῖνα, καὶ δυσανέμωι
στόνωι βρέμουσιν ἀντιπλῆγες ἀκταί.

573 *με* **Zf** in lin., coni. Blaydes: cf. Ai. 589 *γε* **Zf** s. l., rell.: cf. app. crit. ad Ai. 951, O.T. 439, Trach. 1182 et Fraenkel Agam. III 574 n. 1 || **574** choro trib. Boeckh || **575** *δαίσων* Dawe: cf. 654, 816, 1205, et Iph. Aul. 707 *παύσων* codd. | *ἔφυ*] *ἐμοί* **L** || **576** Ismenae trib. **KAUYT**, choro rell., Antigonae Boeckh || **578** *ἐκ δὲ τᾶσδε* $\mathrm{L^{ac}}$ et lemma **ΣL** *ἐκδετὰς δὲ* potius quam *ἐκδετοὺς δὲ* Dietsch, Engelmann *ἐκδέτους δὲ* Frey || **580** sq. lacuna indicata hos vv. seclusit Dawe || **584** *θεόθεν σεισθῆι* **T** || **585** *γενεᾶν* Blaydes | *ἕρπων* $\mathrm{L^{c}}$ s. l., **RSZf** || **587** *ὥσπερ* **V** | *ποντίαις* $\mathrm{L^{pc}}$ et **ΣL**, sed non in lemmate *πόντιον*, eiecto *ἁλὸς* post Elmsley, Schneidewin || **588** *ὅταν* om. **VT** || **589** *Θρήσσαις ὅταν γ' ἔρεβος*, omisso *ὕφαλον*, **T** || **591** *δυσανέμωι* Jacobs *δυσήνεμον* **T** *δυσάνεμον* rell. *δυσάνεμοι* Hartung || **592** *βρέμουσιν* **Zo** *βρέμουσι δ'* rell. | *ἀμφιπλῆγες* Bergk

ἀρχαῖα τὰ Λαβδακιδᾶν οἴκων ὁρῶμαι ἀντ. α
πήματα † φθιμένων † ἐπὶ πήμασι πίπτοντ',
οὐδ' ἀπαλλάσσει γενεὰν γένος, ἀλλ' ἐρείπει
θεῶν τις, οὐδ' ἔχει λύσιν.
νῦν γὰρ ἐσχάτας ὕπερ
ῥίζας ὃ τέτατο φάος ἐν Οἰδίπου δόμοις,
κατ' αὖ νιν φοινία
θεῶν τῶν νερτέρων ἀμᾶι κοπίς,
λόγου τ' ἄνοια καὶ φρενῶν Ἐρινύς.

τεάν, Ζεῦ, δύνασιν τίς ἀν- στρ. β
δρῶν ὑπερβασία κατάσχοι;
τὰν οὔθ' ὕπνος αἱρεῖ ποθ' ὁ † παντογήρως †
οὔτ' ἐτέων ἄκματοι
μῆνες, ἀγήρως δὲ χρόνωι
δυνάστας κατέχεις Ὀλύμπου
μαρμαρόεσσαν αἴγλαν.
τό τ' ἔπειτα καὶ τὸ μέλλον
καὶ τὸ πρὶν ἐπαρκέσει

594 *ὁρῶμεν* **Zf** ‖ **595** *φθιτῶν* metri gr. Hermann ‖ **599** *ὅπερ* **K** s. l., coni. Hermann om. **Zc** ‖ **600** *ὃ τέτατο* Hermann *τέτατο* codd. *ἐτέτατο* Brunck | *ἐπ'*, si *ὅπερ* in 599, Dawe | *γόνοις* **S** ‖ **601** *κατ' αὖ* **L^{pc}KSV^{ac}T** *κᾶτ' αὖ* **L^{ac}R** *κἄτ' αὖ* **AUYZcZf** *κατά* **V^{pc}Zo** | *φονία* **RAUY** *φοινία* post *θεῶν* collocat **Zf** ‖ **602** *κοπίς* Jortin *κόνις* codd. ‖ **603** *Ἐρινύς* **LKRSZf^{ac}** *Ἐριννύς* **Zf^{pc}** rell. ‖ **604** *τεάν*] *τὰν σὰν* **T** | *δύνασιν* **L^{1}** s. l., **RAUY** *δύναμιν* **L** in lin., rell. ‖ **605** *ὑπερβασίαι* dativum **SAUY** *ὑπέρβασις ἂν* Meineke | *κατίσχοι* **V** *κατάσχηι* **Zf** ‖ **606** *τὰν*] *θ' ἂν* **V^{ac}** | *πανταγήρως* **A** *παντογήρων* **K** *πάντα κηλῶν* Gleditsch ‖ **607** *οὔτ'* **LSZf** om. **T** *οὐδ'* rell. | *ἐτέων ἄκματοι* Schneidewin: *θεῶν ἄκματοι* iam Hermann *ἀκάματοί τε θεῶν* **T** *ἀκάματοι θεῶν* rell. ‖ **608** *ἀγήρω* **L^{ac}AUYZc, ΣL** verum **L^{pc}Zc^{2γρ}** rell. | *ἀγήρω δὲ χρόνου* Bergk

νόμος ὅδ'· οὐδὲν ἕρπει
θνατῶν βιότωι πάμπολύ γ' ἐκτὸς ἄτας.

ἁ γὰρ δὴ πολύπλαγκτος ἐλ- ἀντ. β
πὶς πολλοῖς μὲν ὄνησις ἀνδρῶν,
πολλοῖς δ' ἀπάτα κουφονόων ἐρώτων·
εἰδότι δ' οὐδὲν ἕρπει,
πρὶν πυρὶ θερμῶι πόδα τις
προσαύσηι. σοφίαι γὰρ ἔκ του
κλεινὸν ἔπος πέφανται,
τὸ κακὸν δοκεῖν ποτ' ἐσθλὸν
τῶιδ' ἔμμεν, ὅτωι φρένας
θεὸς ἄγει πρὸς ἄταν·
πράσσει δ' ὀλίγιστον χρόνον ἐκτὸς ἄτας.

ὅδε μὴν Αἵμων, παίδων τῶν σῶν
νέατον γέννημ'· ἆρ' ἀχνύμενος
[τῆς μελλογάμου νύμφης]
τάλιδος ἥκει μόρον Ἀντιγόνης,
ἀπάτης λεχέων ὑπεραλγῶν;

ΚΡ. τάχ' εἰσόμεσθα μάντεων ὑπέρτερον.
ὦ παῖ, τελείαν ψῆφον ἆρα μὴ κλύων

613 *ἕρπειν* Heath ‖ **614** *πάμπολύ γ'* Heath *πάμπολυν* ut vid. Zo^{ac} *-ιν* Zo^{pc} *πάμπολις* rell. ‖ **615** *πολύπλακτος* **RSZhZo** ‖ **620** *προσαύσηι* **L** *προψαύσηι* **A**^{c} *προσψαύσηι* **UY** *προψαύσει* **R** *προσαίρει* **L** s. l. et **ΣL** *-αίρηι* **SV** *-άρηι* **KZfZoT** *-άρσηι* **Zc** ‖ **623** *φρένας* post *θεὸς* habet **S**, om. **V** ‖ **624** om. **V** | *ἄγηι* **Y** ‖ **625** *πράσσειν* rec. | *δ'*] *οὐδ'* **R**: *οὐδ' ὀλίγον* **ΣL** periphrasis | *ὀλίγιστον* Bergk *ὀλιγοστὸν* fere codd., sed *ὀλίγωστὸν* **L**^{pc}, priore accentu deleto *ὀλίγος τὸν* Lloyd-Jones | *χρόνον*] *ἔτος* **S** in lin. | *ἐκτὸς*] *χωρὶς* **Zh**, verum **Zh**^{gl} ‖ **628** om. **ZoT** (*νύμφης* **T**^{gl}) *νύμφης* caret Pollux 3, 45 ‖ **630** *ἀπάτας* codd.

τῆς μελλονύμφου πατρὶ λυσσαίνων πάρει;
ἢ σοὶ μὲν ἡμεῖς πανταχῆι δρῶντες φίλοι;

ΑΙΜΩΝ

πάτερ, σός εἰμι, καὶ σύ με γνώμας ἔχων
χρηστὰς ἀπορθοῖς, αἷς ἔγωγ' ἐφέψομαι.
ἐμοὶ γὰρ οὐδεὶς ἀξιώσεται γάμος
μείζων φέρεσθαι σοῦ καλῶς ἡγουμένου.
ΚΡ. *οὕτω γάρ, ὦ παῖ, χρὴ διὰ στέρνων ἔχειν,*
γνώμης πατρῴας πάντ' ὄπισθεν ἑστάναι·
τούτου γὰρ οὕνεκ' ἄνδρες εὔχονται γονὰς
κατηκόους φύσαντες ἐν δόμοις ἔχειν,
ὡς καὶ τὸν ἐχθρὸν ἀνταμύνωνται κακοῖς,
καὶ τὸν φίλον τιμῶσιν ἐξ ἴσου πατρί.
ὅστις δ' ἀνωφέλητα φιτύει τέκνα,
τί τόνδ' ἂν εἴποις ἄλλο πλὴν αὑτῶι πόνους
φῦσαι, πολὺν δὲ τοῖσιν ἐχθροῖσιν γέλων;
μή νύν ποτ' ὦ παῖ, τὰς φρένας γ' ὑφ' ἡδονῆς
γυναικὸς οὕνεκ' ἐκβάλῃς, εἰδὼς ὅτι
ψυχρὸν παραγκάλισμα τοῦτο γίγνεται,
γυνὴ κακὴ ξύνευνος ἐν δόμοις. τί γὰρ
γένοιτ' ἂν ἕλκος μεῖζον ἢ φίλος κακός;
ἀλλὰ πτύσας ὡσεί τε δυσμενῆ μέθες
τὴν παῖδ' ἐν Ἅιδου τήνδε νυμφεύειν τινί.

633 *θυμαίνων* $L^{s\gamma\rho}$ ‖ **634** *πανταχοῦ* **S** *πάνθ' ἃ χρὴ* $Zh^{\gamma\rho}$ ‖ **635** *με* Blaydes *μου* $LK^{ac}RV$ *μοι* rell. *γὰρ* Dawe ‖ **636** ⟨*μ'*⟩ *ἀπορθοῖς* Marquard ‖ **637** *ἀξιώσεται* Musgrave *ἄξιος ἔσται* $K^{pc}VZc$ *ἀξίως ἔσται* K^{ac} rell. ‖ **640** *ἱστάναι* Musgrave ‖ **645** *φιτύει* Lievens *προσφύει* **K** *φυτεύει* rell. ‖ **646** *πόνους*] *πέδας* $L^{s\gamma\rho}Zc^{2gl}$ ‖ **648** *μή*] *μή τοι* **A** | *γ'* **ZoT** om. rell.: *γ'* satis defendunt 683–686 ‖ **653** *ἀλλ' ἀποπτύσας* **KRZc** ‖ **654** *νυμφεύσειν* **KA UY** | *τινά* K^{ac}**SZcZoT**

655 *ἐπεὶ γὰρ αὐτὴν εἷλον ἐμφανῶς ἐγὼ*
πόλεως ἀπιστήσασαν ἐκ πάσης μόνην,
ψευδῆ γ' ἐμαυτὸν οὐ καταστήσω πόλει,
ἀλλὰ κτενῶ. πρὸς ταῦτ' ἐφυμνείτω Δία
ξύναιμον· εἰ γὰρ δὴ τά γ' ἐγγενῆ φύσει
660 *ἄκοσμα θρέψω, κάρτα τοὺς ἔξω γένους.*
ἐν τοῖς γὰρ οἰκείοισιν ὅστις ἔστ' ἀνὴρ
χρηστός, φανεῖται κἀν πόλει δίκαιος ὤν.
668 *καὶ τοῦτον ἂν τὸν ἄνδρα θαρσοίην ἐγὼ*
669 *καλῶς μὲν ἄρχειν, εὖ δ' ἂν ἄρχεσθαι θέλειν,*
670 *δορός τ' ἂν ἐν χειμῶνι προστεταγμένον*
671 *μένειν δίκαιον κἀγαθὸν παραστάτην.*
663 *ὅστις δ' ὑπερβὰς ἢ νόμους βιάζεται*
664 *ἢ τοὐπιτάσσειν τοῖς κρατύνουσιν νοεῖ,*
665 *οὐκ ἔστ' ἐπαίνου τοῦτον ἐξ ἐμοῦ τυχεῖν.*
666 *[ἀλλ' ὃν πόλις στήσειε, τοῦδε χρὴ κλύειν*
667 *καὶ σμικρὰ καὶ δίκαια καὶ τἀναντία.*
672 *ἀναρχίας γὰρ μεῖζον οὐκ ἔστιν κακόν·*
αὕτη πόλεις ὄλλυσιν, ἥδ' ἀναστάτους
οἴκους τίθησιν, ἥδε συμμάχου δορὸς

655 *εἶδον* **KRZoT** ‖ **659** *τά γ'* Erfurdt *τάδ'* AUY om. Zo *τά τ'* rell. | *τἀγγενῆ* Zo *συγγενῆ* L^{s} s. l. ‖ **660** *τούς γ'* **KSZoT** ‖ **663–667** post 671 traiecit Seidler ‖ **668–671** del. Winckelmann ‖ **664** *τἀπιτάσσειν* **R** *κἀπι-* Blaydes | *κρατύνουσι(ν)* L^{ac}V *κρατοῦσιν* L^{pc} rell. | *νοεῖ* L^{ac}**RV** *ἐννοεῖ* L^{pc} rell. ‖ **666–667** et **672–680** del. Dawe: 673–676 suspectos habebat Blaydes, 679–680 del. Schemann (680 iam Winckelmann) ‖ **666** *τοῦδ' ἐχρῆν* Elmsley ‖ **672** *γὰρ*] *δὲ* **L** in lin., **Zf**, Stob. 4, 7, 12 verum L^{s} s. l. ‖ **673** *πόλεις* **SZcZoT** *πόλις θ'* **L** *πόλις τ'* **L** s. l., **Zf** *πόλεις τ'* **RVAUY** *πόλεις δ'* **K** | *ἥδ'* **V** (*αὕτη* V^{gl}) ‖ **674** om. K^{ac}**V** | *συμμάχου* Reiske *συμμάχηι* **LKR** *σὺν μάχηι* rell. *κἀν μάχηι* Held (*ἐν* Zh^{gl})

τροπὰς καταρρήγνυσι· τῶν δ' ὀρθουμένων
σώιζει τὰ πολλὰ σώμαθ' ἡ πειθαρχία·
οὕτως ἀμυντέ' ἐστὶ τοῖς κοσμουμένοις,
κοὔτοι γυναικὸς οὐδαμῶς ἡσσητέα·
κρεῖσσον γάρ, εἴπερ δεῖ, πρὸς ἀνδρὸς ἐκπεσεῖν,
κοὐκ ἂν γυναικῶν ἥσσονες καλοίμεθ' ἄν.]
ΧΟ. ἡμῖν μέν, εἰ μὴ τῶι χρόνωι κεκλέμμεθα,
λέγειν φρονούντως ὧν λέγεις δοκεῖς πέρι.
ΑΙ. πάτερ, θεοὶ φύουσιν ἀνθρώποις φρένας
πάντων ὅσ' ἐστὶ κτημάτων ὑπέρτατον.
ἐγὼ δ' ὅπως σὺ μὴ λέγεις ὀρθῶς τάδε,
οὔτ' ἂν δυναίμην μήτ' ἐπισταίμην λέγειν·
γένοιτο μέντἂν χἀτέρως καλῶς ἔχον.
σοῦ δ' οὖν πέφυκα πάντα προσκοπεῖν ὅσα
λέγει τις ἢ πράσσει τις ἢ ψέγειν ἔχει.
τὸ γὰρ σὸν ὄμμα δεινὸν ἀνδρὶ δημότηι
⟨. . . . .⟩
λόγοις τοιούτοις οἷς σὺ μὴ τέρψηι κλύων·
ἐμοὶ δ' ἀκούειν ἔσθ' ὑπὸ σκότου τάδε,
τὴν παῖδα ταύτην οἷ' ὀδύρεται πόλις,
πασῶν γυναικῶν ὡς ἀναξιωτάτη

676 *πιθαρχία* **LRSZfT** || **678** *γυναικῶν* **K**, et fort. legit Eustathius 759, 39 | *μηδαμῶς* **RZf** || **681** *κεκλέμμεθα* **AUY** *κεκλήμεθα* **LKS** *σεσυλήμεθα* L^{sgl} et **ΣL** *κεκλίμεθα* rell. || **683** *θεοὶ μὲν* **K** || **684** *ὅσσ'* **L** *νόος* **KV** *ὅ γ'* **Zf** | *κτημάτων* L^{1} s. l., **RZf** *χρημάτων* rell. | *ὑπέρτερον* **KRV** || **685** *λέγηις* **LVAZc** || **687** *χἀτέρως* **R** *χἀτέραι* **K**: utrumque coni. Hermann, *χἀτέραι* etiam Musgrave *χἀτέρωι* **K** s. l., rell. *καὶ ἑτέρως* **ΣL** | *χἄτερ' ὡς καλῶς ἔχειν* nescio quis || **688** *σοῦ δ' οὖν* **LKS**V^{ac}**ZcZf** *σὺ δ' οὐ* (et *πέφυκας*) $L^{s\gamma\rho}$ *σὺ δ' οὖν* **Y** *σοὶ δ' οὖν* **L** s. l., **R**V^{pc}**AUZoT** || **689** *λέγοι* **Zo** | *πράσσοι* **Zo** | *ἔχοι* **VZo** || **690** *τὸ σὸν γὰρ* **Zf** | lacunam indicavit Dindorf || **691** del. Nauck, ante 690 trai. Étienne

κάκιστ' ἀπ' ἔργων εὐκλεεστάτων φθίνει·
ἥτις τὸν αὑτῆς αὐτάδελφον ἐν φοναῖς
πεπτῶτ' ἄθαπτον μήθ' ὑπ' ὠμηστῶν κυνῶν
εἴασ' ὀλέσθαι μήθ' ὑπ' οἰωνῶν τινος.
οὐχ ἥδε χρυσῆς ἀξία τιμῆς λαχεῖν;
τοιάδ' ἐρεμνὴ σῖγ' ἐπέρχεται φάτις.
ἐμοὶ δὲ σοῦ πράσσοντος εὐτυχῶς, πάτερ,
οὐκ ἔστιν οὐδὲν κτῆμα τιμιώτερον.
τί γὰρ πατρὸς θάλλοντος εὐκλείας τέκνοις
ἄγαλμα μεῖζον, ἢ τί πρὸς παίδων πατρί;
μὴ νῦν ἓν ἦθος μοῦνον ἐν σαυτῶι φόρει,
ὡς φῂς σύ, κοὐδὲν ἄλλο, τοῦτ' ὀρθῶς ἔχειν.
ὅστις γὰρ αὐτὸς ἢ φρονεῖν μόνος δοκεῖ
ἢ γλῶσσαν ἣν οὐκ ἄλλος ἢ ψυχὴν ἔχειν,
οὗτοι διαπτυχθέντες ὤφθησαν κενοί.
ἀλλ' ἄνδρα, κεἴ τις ἦι σοφός, τὸ μανθάνειν
πόλλ' αἰσχρὸν οὐδὲν καὶ τὸ μὴ τείνειν ἄγαν.
ὁρᾶις παρὰ ῥείθροισι χειμάρροις ὅσα
δένδρων ὑπείκει, κλῶνας ὡς ἐκσώιζεται·
τὰ δ' ἀντιτείνοντ' αὐτόπρεμν' ἀπόλλυται.
αὔτως δὲ ναὸς ὅστις ἐγκρατῆ πόδα
τείνας ὑπείκει μηδέν, ὑπτίοις κάτω
στρέψας τὸ λοιπὸν σέλμασιν ναυτίλλεται.

695 *ἐπ'* **A** ‖ **697** *ἄταφον* **Zf**: cf. 876 | *λυκῶν* **L**$^{s\gamma\varrho}$ *κρινῶν* **Zc** ‖ **698** *μηδ'* **LRVZcZfT** ‖ **699** *τιμαῖς* **L** *στήλης γρ.* in **LKS** ‖ **700** *ὑπέρχεται* Herwerden ‖ **701** *ἐμοῦ* **L**^{ac}**A**^{ac} ‖ **703** *εὐκλείαι* Johnson ‖ **705** *φρόνει* **K**^{ac}**S** ‖ **706** *ὡς*] *ὃ* Blaydes | *ταῦτ'* **L**^{ac}**KZc** *ταῦθ'* **V** | *ἔχειν* **VAUYZc**^{2pc} *ἔχει* **Zc**^{ac} rell. ‖ **707** *αὐτὸς ἢ*] *αὐτῶν εὖ* Priscianus 17, 157 ‖ **710** *κἤν* **AUY** | *ἦι*] *εἰ* **LSVZc** *ἦν* **R** ‖ **715** *αὔτως* edd. *οὕτως* **L**^{pc}**K** *αὕτη* **R** *αὕτως* **L**^{ac} rell. | *ὅστις*] *εἴ τις* **L** in lin. | *ἐγκρατὴς* **R**$^{\gamma\varrho}$**AUY** *ἐγκρατεῖ* **L** in lin., **RZf** verum **L**^{1} s. l., rell. ‖ **717** *τὸ πλοῖον* Hermann

ἀλλ' εἶκε θυμοῦ, καὶ μετάστασιν δίδου.
γνώμη γὰρ εἴ τις κἀπ' ἐμοῦ νεωτέρου
πρόσεστι, φήμ' ἔγωγε πρεσβεύειν πολὺ
φῦναί τιν' ἄνδρα πάντ' ἐπιστήμης πλέων·
εἰ δ' οὖν, φιλεῖ γὰρ τοῦτο μὴ ταύτηι ῥέπειν,
καὶ τῶν λεγόντων εὖ καλὸν τὸ μανθάνειν.
ΧΟ. *ἄναξ, σέ τ' εἰκός, εἴ τι καίριον λέγει,*
μαθεῖν, σέ τ' αὖ τοῦδ'· εὖ γὰρ εἴρηται διπλῆι.
ΚΡ. *οἱ τηλικοίδε καὶ διδαξόμεσθα δὴ*
φρονεῖν πρὸς ἀνδρὸς τηλικοῦδε τὴν φύσιν;
ΑΙ. *μηδὲν τὸ μὴ δίκαιον· εἰ δ' ἐγὼ νέος,*
οὐ τὸν χρόνον χρὴ μᾶλλον ἢ τἄργα σκοπεῖν.
ΚΡ. *ἔργον γάρ ἐστι τοὺς ἀκοσμοῦντας σέβειν;*
ΑΙ. *οὔ τἂν κελεύσαιμ' εὐσεβεῖν εἰς τοὺς κακούς.*
ΚΡ. *οὐχ ἥδε γὰρ τοιᾶιδ' ἐπείληπται νόσωι;*
ΑΙ. *οὔ φησι Θήβης τῆσδ' ὁμόπτολις λεώς.*
ΚΡ. *πόλις γὰρ ἡμῖν ἁμὲ χρὴ τάσσειν ἐρεῖ;*
ΑΙ. *ὁρᾶις τόδ' ὡς εἴρηκας ὡς ἄγαν νέος;*
ΚΡ. *ἄλλωι γὰρ ἢ 'μοὶ χρή με τῆσδ' ἄρχειν χθονός;*
ΑΙ. *πόλις γὰρ οὐκ ἔσθ', ἥτις ἀνδρός ἐσθ' ἑνός.*
ΚΡ. *οὐ τοῦ κρατοῦντος ἡ πόλις νομίζεται;*
ΑΙ. *καλῶς ἐρήμης γ' ἂν σὺ γῆς ἄρχοις μόνος.*

718 *θυμοῦ* **KVZcZoT** *θυμᾶ* **S** *θυμῶι* rell. ‖ **721** *τιν'* Blaydes *τὸν* codd. | *πλέων* **K**[ac]**V** *πλέω* **K**[pc] rell. ‖ **725** *αὖ τοῦδ'*] *αὐτοῦ δ'* **LVZc**[ac] *αὐτοῦ* **R** *αὐτὸν τ'* **K** *αὔτ' οὐδ'* **Zf** | *διπλῆι* Hermann *-ας* **V** *-ᾶι* rell. ‖ **726** *οἱ*] *ἧι* **L** s. l. *ἧ* **Zf**, et probat Schneidewin | *δεῖ* **R**: *διδαξόμεσθ' ἃ δεῖ* Semitelos ‖ **727** *πρὸς*] *ὑπ'* **LR** *παρ'* **V** ‖ **728** *τὸ*] *ὃ* **Zh** *γ' ὃ* Tournier ‖ **731** *οὐδ' ἂν* codd.: corr. Schneidewin ‖ **732** *τοιῶιδ' … νόμωι* **Zf** ‖ **733** *ὁμόστολος* **S** in lin. ‖ **734** *ἅν με* volunt **AUYT** ‖ **735** *τάδ'* **L**[pc] ‖ **736** *με* Dobree om. **K** *γε* rell. ‖ **738** *οὐ*] *ὡς οὐ* Vat. gr. 910 | *ἡ*] *οὐ* **V**[ac] ‖ **739** *γ' ἂν*] *γὰρ* **KS ZoT** | *γῆς*] *τῆσδ'* **Zf**

740 *ΚΡ.* *ὅδ', ὡς ἔοικε, τῆι γυναικὶ συμμαχεῖ.*
741 *ΑΙ.* *εἴπερ γυνὴ σύ· σοῦ γὰρ οὖν προκήδομαι.*
748 *ΚΡ.* *ὁ γοῦν λόγος σου πᾶς ὑπὲρ κείνης ὅδε.*
749 *ΑΙ.* *καὶ σοῦ γε κἀμοῦ, καὶ θεῶν τῶν νερτέρων.*
756 *ΚΡ.* *γυναικὸς ὢν δούλευμα μὴ κώτιλλέ με.*
755 *ΑΙ.* *εἰ μὴ πατὴρ ἦσθ', εἶπον ἄν σ' οὐκ εὖ φρονεῖν.*
742 *ΚΡ.* *ὦ παγκάκιστε, διὰ δίκης ἰὼν πατρί.*
743 *ΑΙ.* *οὐ γὰρ δίκαιά σ' ἐξαμαρτάνονθ' ὁρῶ.*
744 *ΚΡ.* *ἁμαρτάνω γάρ, τὰς ἐμὰς ἀρχὰς σέβων;*
745 *ΑΙ.* *οὐ γὰρ σέβεις, τιμάς γε τὰς θεῶν πατῶν.*
746 *ΚΡ.* *ὦ μιαρὸν ἦθος καὶ γυναικὸς ὕστερον.*
747 *ΑΙ.* *οὔ τἂν ἕλοις ἥσσω γε τῶν αἰσχρῶν ἐμέ.*
750 *ΚΡ.* *ταύτην ποτ' οὐκ ἔσθ' ὡς ἔτι ζῶσαν γαμεῖς.*
751 *ΑΙ.* *ἥδ' οὖν θανεῖται, καὶ θανοῦσ' ὀλεῖ τινά.*
752 *ΚΡ.* *ἦ κἀπαπειλῶν ὧδ' ἐπεξέρχηι θρασύς;*
753 *ΑΙ.* *τίς δ' ἔστ' ἀπειλὴ πρὸς κενὰς γνώμας λέγειν;*
754 *ΚΡ.* *κλαίων φρενώσεις, ὢν φρενῶν αὐτὸς κενός.*
757 *ΑΙ.* *βούλει λέγειν τι, καὶ λέγων μηδὲν κλύειν.*
758 *ΚΡ.* *ἄληθες; ἀλλ' οὐ τόνδ' Ὄλυμπον, ἴσθ' ὅτι,*
759 *χαίρων ἔτι ψόγοισι δεννάσεις ἐμέ.*
760 *ἄγετε τὸ μῖσος, ὡς κατ' ὄμματ' αὐτίκα*
παρόντι θνήισκηι πλησία τῶι νυμφίωι.

740 *συμμαχεῖν* Zf: cf. Trach. 1238 ‖ **741–757** ordinem codicum ex confusa histrionum memoria turbatum corr. Dawe: 756–757 post 749 traiecit Enger 749, 756, 755, 754, 757, 750–753, 758 Pallis ‖ **742** *ὦ παῖ κάκιστε* Plut. Mor. 483 B ‖ **745** *εὖ* Musgrave ‖ **747** *οὔ τἂν* Erfurdt *οὐκ ἄν γ'* **AUYT** *οὐκ ἂν* rell. ‖ **748** *σοῦ* **K**^{ac}**RZo** *σοι* rell. ‖ **749** *γε* **LKVZcZf** *τε* **RS AUYZoT** ‖ **754** *κλάων* Dindorf | *αὐτὸς φρενῶν* **Zo** *φρενὸς αὐτὸς* **Zf**, **Zc**^{1} s. l. | *κενός*] *ἐκτός* **Zf** | *αὐτὸς ὢν φρενῶν κενός* Erfurdt ‖ **757** *κλύειν*] *λέγειν* **LK** ‖ **759** *ἔτι* Dobree *ἐπὶ* codd. ‖ **760** *ἄγαγε* **L** *ἄγε* **Zf** | *μῦσος* **V** ‖ **761** *παρόντι*] *θανόντι* **Zf**

AI. οὐ δῆτ' ἔμοιγε, τοῦτο μὴ δόξηις ποτέ,
οὔθ' ἥδ' ὀλεῖται πλησία, σύ τ' οὐδαμὰ
τοὐμὸν προσόψει κρᾶτ' ἐν ὀφθαλμοῖς ὁρῶν,
ὡς τοῖς θέλουσι τῶν φίλων μαίνηι ξυνών.
XO. ἀνήρ, ἄναξ, βέβηκεν ἐξ ὀργῆς ταχύς·
νοῦς δ' ἐστὶ τηλικοῦτος ἀλγήσας βαρύς.
KP. δράτω, φρονείτω μεῖζον ἢ κατ' ἄνδρ' ἰών.
τὼ δ' οὖν κόρα τώδ' οὐκ ἀπαλλάξει μόρου.
XO. ἄμφω γὰρ αὐτὼ καὶ κατακτεῖναι νοεῖς;
KP. οὐ τήν γε μὴ θιγοῦσαν· εὖ γὰρ οὖν λέγεις.
XO. μόρωι δὲ ποίωι καί σφε βουλεύηι κτανεῖν;
KP. ἄγων ἔρημος ἔνθ' ἂν ἦι βροτῶν στίβος
κρύψω πετρώδει ζῶσαν ἐν κατώρυχι,
φορβῆς τοσοῦτον ὡς ἄκος μόνον προθείς
ὅπως μίασμα πᾶσ' ὑπεκφύγηι πόλις.
κἀκεῖ τὸν Ἅιδην, ὃν μόνον σέβει θεῶν,
αἰτουμένη που τεύξεται τὸ μὴ θανεῖν,
ἢ γνώσεται γοῦν ἀλλὰ τηνικαῦθ' ὅτι
πόνος περισσός ἐστι τἀν Ἅιδου σέβειν.

XO. Ἔρως ἀνίκατε μάχαν, *στρ. α*
Ἔρως ὃς † ἐν κτήμασι πίπτεις †

763 *οὐδαμῶς* **L** s. l., **VZh** *-οῦ* **ZcZo** ‖ **765** *μαίνηι* $\mathbf{L}^{1pc}\mathbf{V}\mathbf{U}^{\gamma\rho}\mathbf{Zc}^{s\gamma\rho}\mathbf{T}$, **S** in lin. et $\mathbf{S}^{\gamma\rho}$ *μαίνηις* $\mathbf{L}^{ac}$ *μένεις* seu *μενεῖς* **L** s. l. *μένεις* $\mathbf{A}\mathbf{U}^{pc}\mathbf{Y}$, **S** s. l. *μέν* $\mathbf{U}^{ac}$ *μενεῖς* **Zf** *μένηι* $\mathbf{Y}^{\gamma\rho}\mathbf{Zo}$ *μένηις* **KZc**, lemma **ΣL** ‖ **767** *βραχύς* $\mathbf{L}^{ac}\mathbf{Zc}$: verum **ΣZc** *βαρύ* Tournier: cf. 1251 ‖ **769** *τὰ δ' … τάδ'* fere codd.: corr. Dindorf | *μόρων* **ZhZoT** ‖ **770** *αὐτὼ* Dindorf *αὐτὰ* codd. ‖ **771** *τήν γε* **KAUYZcZoT** *τήνδε* **LRSVZf** | *λέγοις* **L** s. l., **Zc** ‖ **772** *θανεῖν* **R** ‖ **775** *ὡς*] *ὅσον* Blaydes | *ἄγος* codd.: corr. Madvig: cf. Aesch. Suppl. 366–7 ‖ **776** *πως* **Zo** *πᾶν* Herwerden ‖ **778** *τὸ*] *τοῦ* **Zf** ‖ **780** om. $\mathbf{L}^{ac}$, add. $\mathbf{L}^{1}$ vel $\mathbf{L}^{s}$ ‖ **782** *ὅς τ'* **LV** *ὃν* **A** | *ἐν* om. $\mathbf{Zc}^{ac}$ *ἐνὶ* **R** | emendatio nulla arridet

ὃς ἐν μαλακαῖς παρειαῖς
νεάνιδος ἐννυχεύεις,
φοιτᾶις δ' ὑπερπόντιος ἔν τ'
ἀγρονόμοις αὐλαῖς·
καί σ' οὔτ' ἀθανάτων φύξιμος οὐδείς,
οὔθ' ἁμερίων σέ γ' ἀνθρώ-
πων, ὁ δ' ἔχων μέμηνεν·

σὺ καὶ δικαίων ἀδίκους ἀντ. α
φρένας παρασπᾶις ἐπὶ λώβαι·
σὺ καὶ τόδε νεῖκος ἀνδρῶν
ξύναιμον ἔχεις ταράξας·
νικᾶι δ' ἐναργὴς βλεφάρων
ἵμερος εὐλέκτρου
νύμφας † τῶν μεγάλων πάρεδρος ἐν ἀρχαῖς †
θεσμῶν· ἄμαχος γὰρ ἐμπαί-
ει θεὸς Ἀφροδίτα.

νῦν δ' ἤδη 'γὼ καὐτὸς θεσμῶν
ἔξω φέρομαι τάδ' ὁρῶν, ἴσχειν
δ' οὐκέτι πηγὰς δύναμαι δακρύων,
τὸν παγκοίτην ὅθ' ὁρῶ θάλαμον
τήνδ' Ἀντιγόνην ἀνύτουσαν.

783 *μαλακαῖς* LRZcT *-αῖσι* rell. || **785** *δ'*] *τ'* Winckelmann || **785** sq. *ἐν πατρονόμοις* L^{ac}Zc || **789** *σέ γ'* Blaydes *ἀπ'* Zo, coni. F. W. Schmidt *ἐπ'* rell. || **791** *σὺ* om. L^{ac} *ἁ* R^{ac}, verum $R^{γρ}$ = R^{pc} || **790** *ἐρῶν* Reiske || **798** *πάρεργος* fort. L^{ac} *πάρεδρον* R^{pc} *πάρεδρ'* Zc *παρέδρος* (accus. plur. lingua Dorica) novit Σ etiam metri responsio suspicionem movet: cf. 787 ⟨*τόνδε*⟩ *πάρεδρον*, et [*ἐν ἀρχαῖς*] cum Meineke, Gleditsch || **799** *ἐμπαίει* novit vel coni. Lievens: *ἐμπίπτει* S^{gl} *ἐμπαίζει* codd. nostri || **801** *'γὼ*] *κἀγὼ* **KR** *ὦ* Zc^{ac} *'γὼν* (et *αὐτὸς*) **Zo** || **804** *παγκοίταν* codd.: corr. G. Wolff || **805** *ἀνύουσαν* S^{pc}

ΑΝ. *ὁρᾶτέ μ', ὦ γᾶς πατρίας πολῖται,* *στρ. β*
τὰν νεάταν ὁδὸν
στείχουσαν, νέατον δὲ φέγ-
γος λεύσσουσαν ἀελίου,
κοὔποτ' αὖθις, ἀλλά μ' ὁ παγ-
κοίτας Ἅιδας ζῶσαν ἄγει
τὰν Ἀχέροντος
ἀκτάν, οὔθ' ὑμεναίων
ἔγκληρον, οὔτ' ἐπὶ νυμ-
φείοις πώ μέ τις ὕμνος ὕ-
μνησεν, ἀλλ' Ἀχέροντι νυμφεύσω.

ΧΟ. *οὐκοῦν κλεινὴ καὶ ἔπαινον ἔχουσ'*
ἐς τόδ' ἀπέρχηι κεῦθος νεκύων,
οὔτε φθινάσιν πληγεῖσα νόσοις
οὔτε ξιφέων ἐπίχειρα λαχοῦσ',
ἀλλ' αὐτόνομος ζῶσα μόνη δὴ
θνητῶν Ἀίδην καταβήσηι.

ΑΝ. *ἤκουσα δὴ λυγροτάταν ὀλέσθαι* *ἀντ. β*
τὰν Φρυγίαν ξέναν
Ταντάλου Σιπύλωι πρὸς ἄ-
κρωι, τὰν κισσὸς ὡς ἀτενὴς
πετραία βλάστα δάμασεν,
καί νιν ὄμβροι τακομέναν,

806 *ὁρᾶτ' ἔμ'* **LKRV** | *πατρώιας* **SZfZo** ‖ **814** *ἐπὶ νυμφείοις* Bergk *ἐπὶ νυμφίδος* **R**ac**Zo** *ἐπὶ νυμφίδιός* seu *ἐπινυμφίδιός* rell. (*-ίδιός πω* in ras. scr. **Zf**) *ἐπινύμφειός* Dindorf *λείπει θύραις ἢ κοίταις* **Σ** ‖ **817** *οὐκ οὖν* (sc. *οὔκουν* voluit) … *νεκύων*; M. Schmidt ‖ **822** *θνητῶν* rec. *θνατῶν* codd. nostri | *Ἀίδην* Dindorf *Ἀίδαν* **L** *Ἀίδαν* rell. | *καταλεύσηι* (sc. voluit *κατελεύσηι*) **Zf** ‖ **824** *ξέναν*] *κόραν* Blaydes ‖ **825** post *Ταντάλου*, non post *ἄκρωι*, interpungit Kamerbeek | *Σιπύλου* **Zh** s. l., coni. Pallis ‖ **828** *ὄμβροι* Musgrave *ὄμβρος* **Zc** s. l., Mediol. E 77 sup., coni. Gleditsch *ὄμβρωι* rell.

ὡς φάτις ἀνδρῶν,
χιών τ' οὐδαμὰ λείπει,
τέγγει δ' ὑπ' ὀφρύσι παγ-
κλαύτοις δειράδας· ἇι με δαί-
μων ὁμοιοτάταν κατευνάζει.

ΧΟ. *ἀλλὰ θεός τοι καὶ θεογεννής,*
ἡμεῖς δὲ βροτοὶ καὶ θνητογενεῖς·
καίτοι φθιμένηι μέγα κἀκοῦσαι
τοῖς ἰσοθέοις σύγκληρα λαχεῖν
⟨. . . . .⟩
ζῶσαν καὶ ἔπειτα θανοῦσαν.

ΑΝ. *οἴμοι γελῶμαι· τί με, πρὸς θεῶν πατρώι-* στρ. γ
ων, οὐκ ὀλλυμέναν ὑβρί-
ζεις, ἀλλ' ἐπίφαντον;
ὦ πόλις, ὦ πόλεως
πολυκτήμονες ἄνδρες·
ἰὼ Διρκαῖαι κρῆναι Θή-
βας τ' εὐαρμάτου ἄλσος, ἔμ-
πας ξυμμάρτυρας ὔμμ' ἐπικτῶμαι,

830 *χειμών* fort. Zf^{ac}, et coni. Gleditsch ‖ **831** *τέγγει* AUY ZcT *τέγκει* K^{pc}RZfZo *τάκει* LK^{ac}SV | *δ'* KS, coni. Bothe *θ'* rell. ‖ **832** *-κλαύτοις* KS *-κλαύτους* L *-κλαύστοις* rell. ‖ **834** *θεογενής* KRUZfZo: cf. Eustath. 859. 61 *θειογενής* Wieseler ‖ **835** *θνητογεννεῖς* LSZc ‖ **836** *καίτοι γε* T | *φθιμένηι* Zf^{pc} *-αι* LKAUY *-ωι* L s. l., SVZcZf^{ac} *-αν* RZo *-ην* T | *μέγ' ἀκοῦσαι* codd.: corr. Seyffert *μέγα τἀκοῦσαι* Wecklein ‖ **837** *τοῖσιν* T | *ἔγκληρα* codd.: corr. Schaefer ‖ **838** om. AUY: ante hunc versum lacunam unius dimetri indicavit G. Wolff: cf. 817–822 ‖ **840** *ὀλλυμέναν* Zf^{ac}T *ὀλλομέναν* ZcZf^{pc}Zo *ὀλομέναν* rell. *οἰχομέναν* J. F. Martin ‖ **843** *πολυτλήμονες* A *πολυκτήμονος* Nauck ‖ **844** *ὢ* R | *Διρκαῖαι καὶ κρῆναι* L ‖ **846** *ἐπιβοῶμαι* L$^{\gamma\rho}$

οἵα φίλων ἄκλαυτος, οἵοις νόμοις
πρὸς ἕργμα τυμβόχωστον ἔρ-
χομαι τάφου ποταινίου·
ἰὼ † δύστανος οὔτ' ἐν
βροτοῖσιν οὔτ' ἐν νεκροῖσιν †
μέτοικος οὐ ζῶσιν, οὐ θανοῦσιν.

ΧΟ. *προβᾶσ' ἐπ' ἔσχατον θράσους,*
ὑψηλὸν ἐς Δίκας βάθρον
προσέπεσες, ὦ τέκνον, ποδοῖν·
πατρῷιον δ' ἐκτίνεις τιν' ἆθλον.

ΑΝ. *ἔψαυσας ἀλγεινοτάτας ἐμοὶ μερί-* ἀντ. γ
μνας, πατρὸς τριπολίστου οἴ-
του τοῦ τε πρόπαντος
οὐ μετρίου πότμου
κλεινοῖς Λαβδακίδαισιν.
ἰὼ ματρῷιαι λέκτρων ἆ-
ται κοιμήματά τ' αὐτογέν-
νητ' ἐμῶι πατρὶ δυσμόρου ματρός,
οἵων ἐγώ ποθ' ἁ ταλαίφρων ἔφυν·

847 *οἵοις* T *οἵοισι(ν)* rell. || **848** *ἕργμα* **VZcT** *ἕρμα* L^{pc}S *ἔργμα* L^{ac} rell. || **849** *ποταινείου* **L** || **850** *δύστανε* **R** || **851** *βροτοῖς* T | *οὔτε* S, coni. Erfurdt | *δύστανος βροτοῖς οὔτε νεκροῖς κυροῦσα* Seyffert, praeeunte Boeckh: sed ut vid. glossemata veram lectionem expulerunt || **855** *προσέπεσας* **V** *προσέπαισας* **ZoT** | *ποδοῖν* Schneidewin *πολύν* **LKSVZc** *πολεά* **R** *πολύ* **AUYZfZoT** *ποδί* Bruhn || **856** *δ'* om. **KRT** | *ἐκτείνεις* **LKZcZfZo** || **859** *τριπόλιστον* codd., dein *οἶτον* K^{pc} (quod coni. Brunck) *οἶκτον* rell. *οἶκον* lemma ΣL: corr. Lloyd-Jones || **861** *οὐ μετρίου* Dawe *ἁμετέρου* codd.: cf. Phil. 179 || **863** *πατρῷαι* **LRZc** *ματρῷναι* **V** || **864** *κοιμήματά τ'* **Zo** *κοίματ'* **Zc** *κοιμήματ'* rell. || **865** *ἁμῶι* **T** | *δυσμόρωι* **L**

πρὸς οὓς ἀραῖος, ἄγαμος, ἅδ'
ἐγὼ μέτοικος ἔρχομαι.
ἰὼ δυσπότμων κασί-
γνητε γάμων κυρήσας,
θανὼν ἔτ' οὖσαν κατήναρές με.

ΧΟ. *σέβειν μὲν εὐσέβειά τις,*
κράτος δ' ὅτωι κράτος μέλει,
παραβατὸν οὐδαμᾶι πέλει·
σὲ δ' αὐτόγνωτος ὤλεσ' ὀργά.

ΑΝ. *ἄκλαυτος, ἄφιλος, ἀνυμέναι-* ἐπῳδ.
ος ἁ ταλαίφρων ἄγομαι
τάνδ' ἑτοίμαν ὁδόν.
οὐκέτι μοι τόδε λαμπάδος ἱερὸν
ὄμμα θέμις ὁρᾶν ταλαίναι.
τὸν δ' ἐμὸν πότμον ἀδάκρυτον
οὐδεὶς φίλων στενάζει.

ΚΡ. *ἆρ' ἴστ' ἀοιδὰς καὶ γόους πρὸ τοῦ θανεῖν*
ὡς οὐδ' ἂν εἷς παύσαιτ' ἄν, εἰ χρείη, λέγων;
οὐκ ἄξεθ' ὡς τάχιστα; καὶ κατηρεφεῖ
τύμβωι περιπτύξαντες, ὡς εἴρηκ' ἐγώ,
ἄφετε μόνην, ἔρημον, εἴτε χρῆι θανεῖν

869 *ἰὼ* semel **T** bis rell. || **870** *γάμων* ante *κασίγνητε* collocat Erfurdt metri causa: cf. 851 *τάφων* Morstadt || **873** *κράτος*^{2}] *κράτους* **V** || **874** *οὐδαμᾶι* **LR** *-οῦ* **Zf** *-*** **Zc** *-ῆ(ι)* rell. *οὐδάμ' ἂν* (et *πέλοι*) M. Schmidt || **876** *ἄκλαυστος* **VZfZo** | *ἄφιλος*] *ἄταφος* **Zf**: cf. 697 || **877** *ἁ ταλαίφρων* Erfurdt *ἀταλαίφρων* **S** *ταλαίφρων* rell. || **878** *τάνδε πυμάταν* Reiske || **883** *οἶσθ'* **RZh** *ἴσθ'* V^{pc} || **884** *χρεῖ' ἦ* codd.: corr. Dawes *'ξείη* Blaydes | *λέγων* Vauvilliers *λέγειν* codd. *χέων* seu *'κχέων* Blaydes || **887** *ἄφετε* **Zo** *ἀφεῖτε* **LRSZfT** *ἀφῆτε* **KVZc** *ἀφῆτ'*, quod post *μόνην* collocant, **AUY** *ἄπιτε μόνην ἔρημον γρ.* in **AUY** | *χρῆι* Dindorf *χρὴ* codd.: *εἰ χρήιζει καὶ θέλει* **ΣL**

εἴτ' ἐν τοιαύτηι ζῶσα τυμβεύειν στέγηι·
ἡμεῖς γὰρ ἁγνοὶ τοὐπὶ τήνδε τὴν κόρην·
μετοικίας δ' οὖν τῆς ἄνω στερήσεται.

AN. ὦ τύμβος, ὦ νυμφεῖον, ὦ κατασκαφὴς
οἴκησις αἰείφρουρος, οἷ πορεύομαι
πρὸς τοὺς ἐμαυτῆς, ὧν ἀριθμὸν ἐν νεκροῖς
πλεῖστον δέδεκται Φερσέφασσ' ὀλωλότων,
ὧν λοισθία 'γὼ καὶ κάκιστα δὴ μακρῶι
κάτειμι, πρίν μοι μοῖραν ἐξήκειν βίου.
ἐλθοῦσα μέντοι κάρτ' ἐν ἐλπίσιν τρέφω
φίλη μὲν ἥξειν πατρί, προσφιλὴς δὲ σοί,
μῆτερ, φίλη δὲ σοί, κασίγνητον κάρα·
ἐπεὶ θανόντας αὐτόχειρ ὑμᾶς ἐγὼ
ἔλουσα κἀκόσμησα κἀπιτυμβίους
χοὰς ἔδωκα· νῦν δέ, Πολύνεικες, τὸ σὸν
δέμας περιστέλλουσα τοιάδ' ἄρνυμαι.
καίτοι σέ γ' εὖ 'τίμησα τοῖς φρονοῦσιν εὖ.
οὐ γάρ ποτ' οὔτ' ἂν εἰ τέκν' ὧν μήτηρ ἔφυν
οὔτ' εἰ πόσις μοι κατθανὼν ἐτήκετο,
βίαι πολιτῶν τόνδ' ἂν ἠιρόμην πόνον.

888 *ζῶσαν* **KRSZo** | *τυμβεύει* **AUYZc**^{ac} *τυμβεύσει* **T** *νυμφεύειν* Morstadt: sed cf. Barker, Class. Rev. 21 (1907) 48, et Björck, Studi Ital. Filol. Class. 27 (1956) 55–58 ‖ **892** *αἰείφρουρος* **AUYZf**^{pc}**ZoT** *ἀεί-* **Zf**^{ac} rell. | *πορεύσομαι* **R** ‖ **894** *Φερσέφασσ'* **LKRVZf**^{pc}**T** *Περσέ-* **SAUYZf**^{ac}**Zo** **ερσέφασσ'* **Zc** ‖ **899** *δὲ σοί*] *δὲ καὶ σοί* **R** *καὶ σοί* Dawe ‖ **901** *κἀπιτυμβία* **Zc**^{ac}**Zo** *κἀπὶ τυμβίας* **K** ‖ **903** *περιστείλασα* Rottmanner ‖ **903–904** *τοιάδ' ... 'τίμησα* om. **R** ‖ **904–920** seclusit Lehrs: locum iam damnaverat A. Jacob A. D. 1821: hos vv. novit Aristoteles Rhet. 1417a ‖ **904** *σέ γ' εὖ* Arndt *σ' ἐγὼ* codd. ‖ **905** *τέκν' ὧν* Winckelmann *τέκνων* codd. ‖ **906** *ἐσήπετο* Herwerden ‖ **907** *τῶνδ'* **R** | *ἂν ἠρόμην* **Zf**^{ac} *ἀνηλόμην* **Zh** *ἀνηρόμην* fere rell.

τίνος νόμου δὴ ταῦτα πρὸς χάριν λέγω;
πόσις μὲν ἄν μοι κατθανόντος ἄλλος ἦν,
καὶ παῖς, ἀπ' ἄλλου φωτός, εἰ τοῦδ' ἤμπλακον.
μητρὸς δ' ἐν Ἅιδου καὶ πατρὸς κεκευθότοιν
οὐκ ἔστ' ἀδελφὸς ὅστις ἂν βλάστοι ποτέ.
τοιῶιδε μέντοι σ' ἐκπροτιμήσασ' ἐγὼ
νόμωι, Κρέοντι ταῦτ' ἔδοξ' ἁμαρτάνειν
καὶ δεινὰ τολμᾶν, ὦ κασίγνητον κάρα.
καὶ νῦν ἄγει με διὰ χερῶν οὕτω λαβὼν
ἄλεκτρον, ἀνυμέναιον, οὔτε του γάμου
μέρος λαχοῦσαν οὔτε παιδείου τροφῆς,
ἀλλ' ὧδ' ἔρημος πρὸς φίλων ἡ δύσμορος
ζῶσ' εἰς θανόντων ἔρχομαι κατασκαφάς,
ποίαν παρεξελθοῦσα δαιμόνων δίκην;
τί χρή με τὴν δύστηνον ἐς θεοὺς ἔτι
βλέπειν, τίν' αὐδᾶν ξυμμαχεῖν, ἐπεί γε δὴ
τὴν δυσσέβειαν εὐσεβοῦσ' ἐκτησάμην;
  ἀλλ' εἰ μὲν οὖν τάδ' ἐστὶν ἐν θεοῖς καλά,
παθόντες ἂν ξυγγνοῖμεν ἡμαρτηκότες·
εἰ δ' οἵδ' ἁμαρτάνουσι, μὴ πλείω κακὰ
πάθοιεν ἢ καὶ δρῶσιν ἐκδίκως ἐμέ.

909 *πόσεως* Blaydes, forma tragicis ignota | *μοι*] *τις* **Zo** *τοι* **Zh**, verum **Zh**^{γρ} || **910** incertum est utrum post *παῖς* virgula ponenda sit necne || **911** *κεκευθότων* Σ ad Oed. Tyr. 968 et **Zh** in lin. *βεβηκότων* Aristot. Rhet. 1417a *τετευχότων* Clem. Alex. Strom. 6, 19, 3 || **912** *βλάστοι* Aristoteles *βλαστοῖ* codd. || **917** *ἄτεκνον* **R** || **918** *παιδείου* **VZfZoT** *παιδίου* rell. || **920** *κατασφαγάς* **L** || **922** *ἐς θεοὺς* **LV**^{ac}**ZcZo** *ἐν θεοῖς* **KV**^{pc} *εἰς θεοὺς* rell. || **923** *ξυμμάχων* codd.: corr. Winckelmann || **925** *εἰς θεοὺς* **S** | *κακά* **Zf**^{ac} || **927** *πλέω* **Zf** *μείω* Vauvilliers || **928** *ἐνδίκως* **LKU**^{ac}, verum **L**^{s} s. l.

ΧΟ. *ἔτι τῶν αὐτῶν ἀνέμων αὑταὶ*
ψυχῆς ῥιπαὶ τήνδε γ' ἔχουσιν.
ΚΡ. *τοιγὰρ τούτων τοῖσιν ἄγουσιν*
κλαύμαθ' ὑπάρξει βραδυτῆτος ὕπερ.
ΑΝ. *οἴμοι, θανάτου τοῦτ' ἐγγυτάτω*
τοὔπος ἀφῖκται.
ΚΡ. *θαρσεῖν οὐδὲν παραμυθοῦμαι*
μὴ οὐ τάδε ταύτηι κατακυροῦσθαι.
ΑΝ. *ὦ γῆς Θήβης ἄστυ πατρῶιον*
καὶ θεοὶ προγενεῖς,
ἄγομαι δὴ 'γὼ κοὐκέτι μελλῶ.
λεύσσετε, Θήβης οἱ κοιρανίδαι,
τὴν βασιλειδῶν μούνην λοιπήν,
οἷα πρὸς οἵων ἀνδρῶν πάσχω
τὴν εὐσεβίαν σεβίσασα.

ΧΟ. *ἔτλα καὶ Δανάας οὐράνιον φῶς* *στρ. α*
ἀλλάξαι δέμας ἐν χαλκοδέτοις
αὐλαῖς· κρυπτομένα δ' ἐν
τυμβήρει θαλάμωι κατεζεύχθη.
καίτοι ⟨καὶ⟩ γενεᾶι τίμιος, ὦ παῖ, παῖ,
καὶ Ζηνὸς ταμιεύεσκε γονὰς χρυσορύτους.

929 *αὑταὶ* Erfurdt *αὐταὶ* codd. ‖ **930** *τήνδε γ'*] *τήνδ'* **K** *τῇσδ'* **R** | *τῇιδ' ἐπέχουσιν* Dindorf: cf. 986 sq. ‖ **931** *τοιγὰρ* **T** *τοιγάρτοι* rell. | *ταύτην* Bothe | *τοῖς* **LVZcZf** ‖ **932** *ὕπο* **ZfZo** ‖ **933–934** choro trib. Lehrs ‖ **934** *ἀφεῖται* Heikel ‖ **935–936** choro trib. Boeckh, quod sinit **Σ** ‖ **938** *προγενεῖς* **L** *πρωτογενεῖς* **S** *προσγονεῖς* **Zf** *πατρογενεῖς* rell., quorum **RY** *πατρο* per *προ* compendium exarant ‖ **939** *δὴ 'γὼ*] *δὴ* **AUY** *δὴ κἀγὼ* **K** *δ' ἐγὼ* **Zf** | *μέλλω* codd.: corr. Meineke ‖ **941** *βασιλειδῶν* Wolff (*-ειδᾶν* Winckelmann) *βασιλείαν* **T** *βασιλίδα* rell. ‖ **943** *εὐσεβίαν* **T** *-είαν* rell. ‖ **948** *καὶ* suppl. Hermann *γ' ἦν* Wieseler ‖ **950** *χρυσορύτους* **T** *χρυσορρύτους* rell.

ἀλλ' ἁ μοιριδία τις δύνασις δεινά·
οὔτ' ἄν νιν ὄλβος οὔτ' Ἄρης,
οὐ πύργος, οὐχ ἁλίκτυποι
κελαιναὶ νᾶες ἐκφύγοιεν.

ζεύχθη δ' ὀξύχολος παῖς ὁ Δρύαντος, ἀντ. α
Ἠδωνῶν βασιλεύς, κερτομίοις
ὀργαῖς, ἐκ Διονύσου
πετρώδει κατάφαρκτος ἐν δεσμῶι.
οὕτω τᾶς μανίας δεινὸν ἀποστάζει
ἀνθηρόν τε μένος. κεῖνος ἐπέγνω μανίαις
ψαύων τὸν θεὸν ἐν κερτομίοις γλώσσαις.
παύεσκε μὲν γὰρ ἐνθέους
γυναῖκας εὔιόν τε πῦρ,
φιλαύλους τ' ἠρέθιζε Μούσας.

παρὰ δὲ κυανέων †πελαγέων [πετρῶν]† διδύμας ἁλὸς στρ. β
ἀκταὶ Βοσπόριαι, †ἠδ' ὁ Θρηικῶν ⟨–⏑–⟩†
Σαλμυδησσός, ἵν' ἀγχίπολις Ἄρης
δισσοῖσι Φινείδαις

951 *ἀλλ' ἁ* **UYT** *ἀλλὰ* rell. | *δύνασις* **LRAUYZc**^{pc} *δύναμις* **KSVZc**^{ac}**ZfZoT** ‖ **952** *ὄλβος* Scaliger *τ' ὄμβρος* **V** *ὄμβρος* rell. ‖ **955** *ὀξύχολος* Scaliger *ὀξυλόχως* **L**^{ac}**K**^{ac} *ὀξυχόλως* **L**^{pc}**K**^{pc} rell. ‖ **956** *κερτομίαις* **ZfZo** *-ίης* **Zc** ‖ **958** *κατάφαρκτος* **L** *-φρακτος* rell. ‖ **960** *μανίαις* **LSAUY** *-ίας* rell. ‖ **962** *κερτομίοις* **LV** *-ίαισι* **KSZo** *-ίαις* rell. ‖ **965** *τ'* om. **LZc** ‖ **966** *κυανέοις* **K** s. l. *κυανεᾶν* Wieseler *κυανεαῖν* Blaydes | *πελαγίων* **UZc** *πελάγεσι* (et *πέτραις*) **K** s. l. om. **T** *πελάγει* Jebb *σπιλάδων* Wieseler *σπιλαδοῖν* Blaydes | *πετρῶν* del. Brunck | *ἁλός τ'* **T** ras. ca. septem litt. post *ἁλὸς* in **A** ‖ **969** *ἠδ'* **L** *ἰδ'* **T** | *Θρηικῶν ἄξενος* Boeckh ‖ **970** *Σαλμυδησσός* **RVAUY**^{pc}**ZoT** (*Σαλμι-* **Y**^{ac}) *-ισσός* **LKSZcZf** | *ἵν'*] *ὃν* **L**^{s} s. l. | *ἀγχίπτολις* **RSZfZoT**

εἶδεν ἀρατὸν ἕλκος
τυφλωθὲν ἐξ ἀγρίας δάμαρτος,
ἀλαὸν ἀλαστόροισιν ὀμμάτων κύκλοις
† ἀραχθὲν ἐγχέων † ὑφ' αἱματηραῖς
χείρεσσι καὶ κερκίδων ἀκμαῖσιν.

κατὰ δὲ τακόμενοι μέλεοι μελέαν πάθαν ἀντ. β
κλαῖον, ματρὸς ἔχοντες ἀνυμφεύτου γονάν·
ἁ δὲ σπέρμα μὲν ἀρχαιογόνων
ἄντασ' Ἐρεχθειδᾶν,
τηλεπόροις δ' ἐν ἄντροις
τράφη θυέλλαισιν ἐν πατρῴαις
Βορεὰς ἅμιππος ὀρθόποδος ὑπὲρ πάγου,
θεῶν παῖς· ἀλλὰ κἀπ' ἐκείναι
Μοῖραι μακραίωνες ἔσχον, ὦ παῖ.

ΤΕΙΡΕΣΙΑΣ

Θήβης ἄνακτες, ἥκομεν κοινὴν ὁδόν,
δύ' ἐξ ἑνὸς βλέποντε· τοῖς τυφλοῖσι γὰρ
αὕτη κέλευθος ἐκ προηγητοῦ πέλει.
ΚΡ. *τί δ' ἔστιν, ὦ γεραιὲ Τειρεσία, νέον;*
ΤΕ. *ἐγὼ διδάξω, καὶ σὺ τῶι μάντει πιθοῦ.*

972 *ἀρακτὸν* Hermann ‖ **974** *ἀλαστόροις* **T** ‖ **975** *ἀραχθέντων*, eiecto *ἐγχέων*, Seidler | *ἀγχέων* **Zc** *ἀχέων* **Zo** *οὐκ ἐγχέων* **T** ‖ **976** *χείραισι* **Y**^{ac}**Zf** *-αισσι* **Y**^{pc} *χείρεσι* **VZo** *χερσὶ* **Zc** *χερσίν τε* **T** | *ἀκμαῖς* **T** ‖ **979** *κλαῦσον* **Zf** *κλᾶον* Dindorf ‖ **980** *πατρὸς* **LZh** | *ἀνύμφευτον* codd.: corr. Meineke *ἀμώμητον* coni. idem ‖ **981** *σπέρμ'*, omisso *μὲν*, **T** ‖ **982** *αὔχασ'* Dindorf *αὔχησ'* Blaydes ‖ **984** *θυέλλη(ι)σιν* codd.: corr. Dindorf ‖ **985** *βορὰς* **S**^{γρ} *βορέαο* **Zf**^{ac} | *ἀμίπποισι* **V** *-οις* Vat. gr. 910 et v. l. in **Σ** ‖ **986** *θεῶν ἡ παῖς* **T** ‖ **987** *ὦ* om. **T** ‖ **989** *βλέποντε* **L**^{pc}**K**^{pc}**AUY**, fort. etiam **K**^{ac} *-ες* rell. ‖ **990** *πέλει*] *τινός* **Zh**, verum **Zh**^{γρ} ‖ **991** *γηραιὲ* **RZf** | *νέων* **R** in lin. *ξένον* **Zo** in lin.

ΚΡ. οὔκουν πάρος γε σῆς ἀπεστάτουν φρενός.
ΤΕ. τοιγὰρ δι' ὀρθῆς τήνδε ναυκληρεῖς πόλιν.
ΚΡ. ἔχω πεπονθὼς μαρτυρεῖν ὀνήσιμα.
ΤΕ. φρόνει βεβὼς αὖ νῦν ἐπὶ ξυροῦ τύχης.
ΚΡ. τί δ' ἔστιν; ὡς ἐγὼ τὸ σὸν φρίσσω στόμα.
ΤΕ. γνώσηι, τέχνης σημεῖα τῆς ἐμῆς κλύων·
εἰς γὰρ παλαιὸν θᾶκον ὀρνιθοσκόπον
ἵζων, ἵν' ἦν μοι παντὸς οἰωνοῦ λιμήν,
ἀγνῶτ' ἀκούω φθόγγον ὀρνίθων, κακῶι
κλάζοντας οἴστρωι καὶ βεβαρβαρωμένωι·
καὶ σπῶντας ἐν χηλαῖσιν ἀλλήλους φοναῖς
ἔγνων· πτερῶν γὰρ ῥοῖβδος οὐκ ἄσημος ἦν.
εὐθὺς δὲ δείσας ἐμπύρων ἐγευόμην
βωμοῖσι παμφλέκτοισιν· ἐκ δὲ θυμάτων
Ἥφαιστος οὐκ ἔλαμπεν, ἀλλ' ἐπὶ σποδῶι
μυδῶσα κηκὶς μηρίων ἐτήκετο,
κἄτυφε κἀνέπτυε, καὶ μετάρσιοι
χολαὶ διεσπείροντο, καὶ καταρρυεῖς
μηροὶ καλυπτῆς ἐξέκειντο πιμελῆς.
τοιαῦτα παιδὸς τοῦδ' ἐμάνθανον πάρα·
[φθίνοντ' ἀσήμων ὀργίων μαντεύματα]
ἐμοὶ γὰρ οὗτος ἡγεμών, ἄλλοις δ' ἐγώ.
καὶ ταῦτα τῆς σῆς ἐκ φρενὸς νοσεῖ πόλις.
βωμοὶ γὰρ ἡμῖν ἐσχάραι τε παντελεῖς

993 *σῆς* om. **R** *τῆσδ'* **ZoT** || **994** *ναυκληροῖς* **AUY** (*τήνδ'*) *ἐναυκλήρεις* Valckenaer || **995** *πεποιθὼς* **Zc** || **997** *φρίττω* **SZoT** || **998** *τῆς ἐμῆς σημεῖα* **LVZcZf** || **999** *θῶκον* **AUYZf**^{pc}**Zo** || **1000** *ἦν μοι*] *ἦμος* **R** *ἡμῖν* Naber || **1001** *φθόγγον, ὄρνιθας* Blaydes || **1002** *οἴκτωι* Blaydes | *βεβαρβαρωμένα* Usener || **1003** *ἀλλήλων* **R** | *φοναῖς* tamquam epitheton intelligit **Σ** || **1004** *ῥοῖζος* **Zh** || **1013** *φανέντ'* Wecklein | versum del. Harberton || **1016** *ἐσχάρα* **K** | *παντελεῖς* **L**^{c}

πλήρεις ὑπ' οἰωνῶν τε καὶ κυνῶν βορᾶς
τοῦ δυσμόρου πεπτῶτος Οἰδίπου γόνου.
κᾆιτ' οὐ δέχονται θυστάδας λιτὰς ἔτι
θεοὶ παρ' ἡμῶν οὐδὲ μηρίων φλόγα,
[οὐδ' ὄρνις εὐσήμους ἀπορροιβδεῖ βοάς]
ἀνδροφθόρου βεβρῶτες αἵματος λίπος.
ταῦτ' οὖν, τέκνον, φρόνησον· ἀνθρώποισι γὰρ
τοῖς πᾶσι κοινόν ἐστι τοὐξαμαρτάνειν·
ἐπεὶ δ' ἁμάρτηι, κεῖνος οὐκέτ' ἔστ' ἀνὴρ
ἄβουλος οὐδ' ἄνολβος, ὅστις ἐς κακὸν
πεσὼν ἀκῆται μηδ' ἀκίνητος πέληι.
αὐθαδία τοι σκαιότητ' ὀφλισκάνει.
ἀλλ' εἶκε τῶι θανόντι, μηδ' ὀλωλότα
κέντει· τίς ἀλκὴ τὸν θανόντ' ἐπικτανεῖν;
εὖ σοι φρονήσας εὖ λέγω· τὸ μανθάνειν
δ' ἥδιστον εὖ λέγοντος, εἰ κέρδος λέγοι.
ΚΡ. *ὦ πρέσβυ, πάντες ὥστε τοξόται σκοποῦ*
τοξεύετ' ἀνδρὸς τοῦδε, κοὐδὲ μαντικῆς
ἄθρακτος ὑμῖν εἰμι, τῶν ὑπαὶ γένους
ἐξημπόλημαι κἀμπεφόρτισμαι πάλαι.

1017 *πλήρης* L^{ac}, corr. L^{1} || **1018** *δυσπότμου* **S** || **1021** *εὐ**-σήμους* **L** *ἐπισήμους* **K** | versum del. Reeve, 1021 sq. iam Paley || **1022** *βεβρῶτος* **L** s. l., **Y** || **1025** *οὐκέτ'*] *οὐκ* **LRVZf** || **1027** *ἀκῆται* Wunder *ἀκεῖται* codd. | *ἀνίητος* **RVZh**, et *ἀνίατος* coni. Blaydes *ἀΐνητος* **LKS** *αἰκίνητος* **Zc** | *πέληι* L^{1} s. l., **AYZc** s. l. *πέλει* rell. || **1029** *νουθετοῦντι* Wecklein || **1031** *τοι* Dawe || **1032** *λέγοι* **LRVZc** *λέγει* **SAUY**, et Zc^{γρ} *φέρει* **KZf**^{c}**ZoT** *φέροι* Monacensis 500 | post 1032 versus chori excidisse censet M. Schmidt || **1035** *ἄθρακτος* L. Schmidt *ἄπρακτος* codd. *ἄπρατος* Étienne: cf. Ai. 446 | *τῶν* Flor. 31, 1 ante corr., coni. Brunck *τῶν δ'* rell. || **1036** *κἀμπεφόρτισμαι* **LKZh**^{pc}, fort. **Zf**^{ac}, **ΣL** *κἀπ-* **Zh**^{ac} *κἀκπεφόρτισμαι* L^{s} s. l., **Zf**^{pc} rell.

κερδαίνετ', ἐμπολᾶτε τἀπὸ Σάρδεων
ἤλεκτρον, εἰ βούλεσθε, καὶ τὸν Ἰνδικὸν
χρυσόν· τάφωι δ' ἐκεῖνον οὐχὶ κρύψετε,
οὐδ' εἰ θέλουσ' οἱ Ζηνὸς αἰετοὶ βορὰν
φέρειν νιν ἁρπάζοντες ἐς Διὸς θρόνους,
οὐδ' ὣς μίασμα τοῦτο μὴ τρέσας ἐγὼ
θάπτειν παρήσω κεῖνον· εὖ γὰρ οἶδ' ὅτι
θεοὺς μιαίνειν οὔτις ἀνθρώπων σθένει.
πίπτουσι δ', ὦ γεραιὲ Τειρεσία, βροτῶν
χοἰ πολλὰ δεινοὶ πτώματ' αἴσχρ', ὅταν λόγους
αἰσχροὺς καλῶς λέγωσι τοῦ κέρδους χάριν.
ΤΕ. φεῦ·
ἆρ' οἶδεν ἀνθρώπων τις, ἆρα φράζεται ...
ΚΡ. τί χρῆμα; ποῖον τοῦτο πάγκοινον λέγεις;
ΤΕ. ὅσωι κράτιστον κτημάτων εὐβουλία;
ΚΡ. ὅσωιπερ, οἶμαι, μὴ φρονεῖν πλείστη βλάβη.
ΤΕ. ταύτης σὺ μέντοι τῆς νόσου πλήρης ἔφυς.
ΚΡ. οὐ βούλομαι τὸν μάντιν ἀντειπεῖν κακῶς.
ΤΕ. καὶ μὴν λέγεις, ψευδῆ με θεσπίζειν λέγων.
ΚΡ. τὸ μαντικὸν γὰρ πᾶν φιλάργυρον γένος.
ΤΕ. τὸ δέ γε τυράννων αἰσχροκέρδειαν φιλεῖ.
ΚΡ. ἆρ' οἶσθα ταγοὺς ὄντας ἃν λέγηις λέγων;
ΤΕ. οἶδ'· ἐξ ἐμοῦ γὰρ τήνδ' ἔχεις σώσας πόλιν.
ΚΡ. σοφὸς σὺ μάντις, ἀλλὰ τἀδικεῖν φιλῶν.

1037 *τἀπὸ* Blaydes *τὰ πρὸς* **L** *τὸν πρὸς* **RSV**^{pc}**Zf**, Eustathius 368, 30; 1483, 27 *τὸν πρὸ* **L**^{1} s.l., **V**^{ac} rell. ‖ **1040** *οὐ δὴ* **L** *κοὐδ' εἰ* Tournier | *οὐδ' ἢν ... θέλωσ'* (hoc iam Bergk) Blaydes | *θέλουσι Ζηνὸς* **A**^{ac}**UYZo** ‖ **1045** *γηραιὲ* **ZfT** ‖ **1048** *ἆρ' ἃ φράζεται* **Zh** ‖ **1049** *ῥῆμα* Nauck ‖ **1056** *δέ γε* Saeger *δ' ἐκ* codd. | *-ίαν* **Zf** ‖ **1057** *ἃ* **RSVZc**, fort. **Zf**^{ac} | *λέγηις* **L**^{pc}**AUYZoT** *λέγεις* **L**^{ac} rell. ‖ **1059** *σὺ*] *γὰρ* **A** *εἶ* **Zc**, verum **Zc**^{gl}

ΤΕ. *ὄρσεις με τἀκίνητα διαφανῶς φράσαι.*
ΚΡ. *κίνει, μόνον δὲ μὴ 'πὶ κέρδεσιν λέγων.*
ΤΕ. *οὕτω γὰρ ἤδη καὶ δοκῶ τὸ σὸν μέρος;*
ΚΡ. *ὡς μὴ 'μπολήσων ἴσθι τὴν ἐμὴν φρένα.*
ΤΕ. *ἀλλ' εὖ γέ τοι κάτισθι μὴ πολλοὺς ἔτι*
τρόχους ἁμιλλητῆρας ἥλιον τελεῖν,
ἐν οἷσι τῶν σῶν αὐτὸς ἐκ σπλάγχνων ἕνα
νέκυν νεκρῶν ἀμοιβὸν ἀντιδοὺς ἔσηι,
ἀνθ' ὧν ἔχεις μὲν τῶν ἄνω βαλὼν κάτω,
ψυχήν γ' ἀτίμως ἐν τάφωι κατοικίσας,
ἔχεις δὲ τῶν κάτωθεν ἐνθάδ' αὖ θυῶν
ἄμοιρον, ἀκτέριστον, ἀνόσιον νέκυν·
[ὧν οὔτε σοὶ μέτεστιν οὔτε τοῖς ἄνω
θεοῖσιν, ἀλλ' ἐκ σοῦ βιάζονται τάδε.]
τούτων σε λωβητῆρ' ἔθ' ὑστεροφθόροι
λοχῶσιν Ἅιδου καὶ θεῶν Ἐρινύες,
ἐν τοῖσιν αὐτοῖς τοῖσδε ληφθῆναι κακοῖς.
καὶ ταῦτ' ἄθρησον εἰ κατηργυρωμένος
λέγω· φανεῖ γὰρ οὐ μακροῦ χρόνου τριβὴ
ἀνδρῶν γυναικῶν σοῖς δόμοις κωκύματα.
ἔχθραι δὲ πᾶσαι συνταράσσονται πόλεις

1060 *διαφανῶς* Dawe *διὰ φρενῶν* codd. (*δημοσιεύειν* Σ) || **1062** notam interrogationis praebent soli L^spc^Zc: idem vult Σ || **1065** *τροχοὺς* codd.: corr. Erfurdt | *ἡλίου τελῶν* codd.: corr. Winckelmann || **1068** *βάλλων* L s.l., Zc *βάλλειν* L in lin. *βαλλὼν* K *βαλλὼν* R || **1069** *γ'* Wakefield *τ'* codd. del. Bothe | *ἀτίμως τ'* Bergk | *κατοικίσας* K *κατῴκισας* rell. || **1070** *θυῶν* Dawe *θεῶν* codd. || **1072–1073** eiecit Dawe || **1074** *λωβητῆρ' ἔθ'* Kern *λωβητῆρες* codd. || **1075** *Ἐρινύες* LR *Ἐριννύες* rell. || **1077** *-μένως* KV || **1078** *χρόνου*] *λόγου* RZf | *τριβῆι* ZfZo || **1080** *ἐχθραὶ* codd.: corr. Reiske | *συνταράξονται* Bergk || **1080–1083** del. Wunder, post 1022 collocat Kvíčala

⟨. . . . .⟩
ὅσων σπαράγματ' ἢ κύνες καθήγισαν
ἢ θῆρες, ἤ τις πτηνὸς οἰωνός, φέρων
ἀνόσιον ὀσμὴν ἑστιοῦχον ἐς †πόλιν†.
τοιαῦτά σου, λυπεῖς γάρ, ὥστε τοξότης
ἀφῆκα θυμῶι καρδίας τοξεύματα
βέβαια, τῶν σὺ θάλπος οὐχ ὑπεκδραμῆι.
ὦ παῖ, σὺ δ' ἡμᾶς ἄπαγε πρὸς δόμους, ἵνα
τὸν θυμὸν οὗτος ἐς νεωτέρους ἀφῆι,
καὶ γνῶι τρέφειν τὴν γλῶσσαν ἡσυχαιτέραν
τὸν νοῦν τ' ἀμείνω τῶν φρενῶν ὧν νῦν φέρει.
ΧΟ. *ἀνήρ, ἄναξ, βέβηκε δεινὰ θεσπίσας·*
ἐπιστάμεσθα δ', ἐξ ὅτου λευκὴν ἐγὼ
τήνδ' ἐκ μελαίνης ἀμφιβάλλομαι τρίχα,
μή πώ ποτ' αὐτὸν ψεῦδος ἐς πόλιν λακεῖν.
ΚΡ. *ἔγνωκα καὐτὸς καὶ ταράσσομαι φρένας·*
τό τ' εἰκαθεῖν γὰρ δεινόν, ἀντιστάντα δὲ
Ἄτη πατάξαι †θυμὸν ἐν δεινῶι πάρα.†
ΧΟ. *εὐβουλίας δεῖ, παῖ Μενοικέως, †λαβεῖν†.*

1081 lacunam ante hunc versum indicavit Lloyd-Jones | *ὅσαις* Frederking *ὅτωι* Dawe | *ἀπάργματ'* Tournier | *καθήγισαν* **V**^{ac}**Zc**: cf. Hesych. s. v. *καθαγίσω καθήγνισαν* **V**^{pc} rell. || **1083** *πόλιν*] *σποδόν* Dobree *μυχόν* Dawe || **1084** *σοι* **ZcZf** || **1085** *θυμῶν* **R** in lin. *θυμοῦ* rec. || **1089** *στρέφειν* **Zo** | *γλῶσσαν* **KSAUY** *γλῶτταν* **LRVZcZoT** om. **Zf** | *ἡσυχαιτέραν* Flor. 31, 1 et 32, 2 (= **Zg**), coni. Schaefer *-ωτέραν* codd. nostri || **1090** *ὧν* Brunck *ἢ* codd. | *τρέφει* Herwerden || **1091** *ἀνήρ* codd. || **1092** *-μεσθα* **KSAUYZo**^{pc}**T**^{pc} *-μεθα* **Zo**^{ac}**T**^{ac} rell. || **1094** *λαβεῖν* **L**^{ac}**AUY** (*φθέγξασθαι* **L**^{sgl}) || **1096** *εἰκάθειν* codd.: corr. Elmsley | *δειλόν* Brunck | *δὲ*] *τε* **L** s. l. || **1097** *ἄτηι* **L** *αὕτη* **Zf** | *δεινὸν ἐν θυμῶι* **R** || **1098** *λαβεῖν* **LVZc**, post quod *παῖ* iterat **V** *λακεῖν* **K** *λαχεῖν* **Zf**, coni. Heimsoeth *Κρέον* **SAUYZoT**, **K**^{pc} i. m. *Κρέων* **R**, **K**^{ac} i. m.: cf. 211 *κυρεῖν* Dawe

ΚΡ. *τί δῆτα χρὴ δρᾶν; φράζε· πείσομαι δ' ἐγώ.*
ΧΟ. *ἐλθὼν κόρην μὲν ἐκ κατώρυχος στέγης*
ἄνες, κτίσον δὲ τῶι προκειμένωι τάφον.
ΚΡ. *καὶ ταῦτ' ἐπαινεῖς, καὶ δοκεῖ παρεικαθεῖν;*
ΧΟ. *ὅσον γ', ἄναξ, τάχιστα· συντέμνουσι γὰρ*
θεῶν ποδώκεις τοὺς κακόφρονας Βλάβαι.
ΚΡ. *οἴμοι· μόλις μέν, καρδίας δ' ἐξίσταμαι*
τὸ δρᾶν· ἀνάγκηι δ' οὐχὶ δυσμαχητέον.
ΧΟ. *δρᾶ νυν τάδ' ἐλθών, μηδ' ἐπ' ἄλλοισιν τρέπε.*
ΚΡ. *ὧδ' ὡς ἔχω στείχοιμ' ἄν· ἴτ' ἴτ', ὀπάονες,*
οἵ τ' ὄντες οἵ τ' ἀπόντες, ἀξίνας χεροῖν
ὁρμᾶσθ' ἑλόντες εἰς ἐπόψιον τόπον.
ἐγὼ δ', ἐπειδὴ δόξα τῆιδ' ἐπεστράφη,
αὐτός τ' ἔδησα καὶ παρὼν ἐκλύσομαι.
δέδοικα γὰρ μὴ τοὺς καθεστῶτας νόμους
ἄριστον ἦι σώιζοντα τὸν βίον τελεῖν.

ΧΟ. *πολυώνυμε, Καδμείας ἄγαλμα νύμφας* *στρ. α*
καὶ Διὸς βαρυβρεμέτα
γένος, κλυτὰν ὃς ἀμφέπεις
Οἰχαλίαν, μέδεις δὲ
παγκοίνοις Ἐλευσινίας

1102 *δοκεῖ* Rauchenstein *δοκεῖς* codd. | *παρεικάθειν* codd.: corr. Elmsley || **1105** *καρδίας* **SVZc** *-ίαν* **Zf** *-ίαι* rell. | * * *ἐξίσταμαι* **L** || **1107** *τρέπου* **RZcZf** || **1108** *ἴτ' ἴτ'* **T** *οἵ τ'* **AUY** *ἴτ'* **L** *ἴτ'* rell. || **1110** *πάγον* Blaydes: cf. Oed. Col. 1600–1 et [Aesch.] Prom. Vinct. 20 (*τόπωι* **M**) || **1111** *δόξαι* **LK** | *ἐπεστράφη* **AUYZoT** *-ην* rell. || **1114** *τὸν βίον* ante *σώιζοντα* (*σώσοντο τὸ* **V**) collocant **LRVZcZf** || **1115** *νύμφας ἄγαλμα* codd.: corr. Hermann || **1119** *Οἰχαλίαν* Dawe *Ἰταλίαν* (*-είαν* **LS**) codd.: cf. **Σ** ad *πορθμόν* (1145) et **R** ad Trach. 354 *Ἰκαρίαν* vicum Atticae Unger: insulam iam Erfurdt || **1120** *παγκοίνοις* **K**pc**SZcZoT** *-ους* **LK**ac**Zf**, **Zc** s.l. *-ου* **RVAUY**

Δηοῦς ἐν κόλποις, ὦ Βακχεῦ,
Βακχᾶν ματρόπολιν Θήβαν
ναιετῶν παρ' ὑγρὸν
† Ἰσμηνοῦ ῥέεθρον ἀγρίου† τ'
ἐπὶ σπορᾶι δράκοντος·

σὲ δ' ὑπὲρ διλόφου πέτρας στέροψ ὄπωπε ἀντ. α
λιγνύς, ἔνθα Κωρύκιαι
στείχουσι νύμφαι Βακχίδες,
Κασταλίας τε νᾶμα·
καί σε Νυσαίων ὀρέων
κισσήρεις ὄχθαι χλωρά τ' ἀ-
κτὰ πολυστάφυλος πέμπει,
ἀμβρότων ἐπετᾶν
εὐαζόντων Θηβαΐας
ἐπισκοποῦντ' ἀγυιάς·

τὰν ἐκ πασᾶν τιμᾶις στρ. β
ὑπερτάταν πόλεων
ματρὶ σὺν κεραυνίαι·
καὶ νῦν, ὡς βιαίας ἔχεται
πάνδαμος πόλις ἐπὶ νόσου,

1122 *ὦ* om. T | *μητρόπολιν* codd.: corr. Dindorf || 1123 *ναιετῶν* Dindorf *ναίων* codd. | *ὑγρῶν* T || 1124 fort. *Ἰσμηνοῦ* scribendum | *ῥεέθρων* T *ῥεῖθρον Ἰσμηνοῖ'* Page || 1129 *νύμφαι στείχουσι* codd.: corr. Meineke || 1130 *Κασταλείας* L in lin., verum L[1] s.l. || 1131 *Νυσαίων* LKZcZo *Νυσέων* SZf *Νυσσαίων* VRT, K s.l. *Νισαίων* AUY | *οὐρέων* T || 1133 *ἀκτὰ καὶ* T || 1134 *ἀβρότων* KRSZcZfT | *ἐπέων* codd.: corr. Pallis: *ἐπετῶν* iam Hartung || 1135 *Θηβαίας* codd.: corr. Hermann || 1136 *ἐπισκοτοῦντα γυίας* L[sγρ] *ἐπισκοτοῦντ' ἀγυίας* S[γρ] || 1137 *ἐξ ἁπασᾶν* T || 1141 *πάνδημος* codd.: corr. Dindorf ||1142 *ὑπὸ* Musgrave | *νούσου* T

μολεῖν καθαρσίωι ποδὶ Παρνασίαν
ὑπὲρ κλειτὺν ἢ στονόεντα πορθμόν.

ἰὼ πῦρ πνειόντων ἀντ. β
χοράγ' ἄστρων, νυχίων
φθεγμάτων ἐπίσκοπε,
παῖ Ζηνὸς γένεθλον, προφάνηθ',
ὦναξ, σαῖς ἅμα περιπόλοις
Θυίαισιν, αἵ σε μαινόμεναι πάννυχοι
χορεύουσι τὸν ταμίαν Ἴακχον.

ΑΓΓΕΛΟΣ

Κάδμου πάροικοι καὶ δόμων Ἀμφίονος,
οὐκ ἔσθ' ὁπηιοῦν στάντ' ἂν ἀνθρώπου βίον
οὔτ' αἰνέσαιμ' ἂν οὔτε μεμψαίμην ποτέ.
τύχη γὰρ ὀρθοῖ καὶ τύχη καταρρέπει
τὸν εὐτυχοῦντα τόν τε δυστυχοῦντ' ἀεί,
καὶ μάντις οὐδεὶς τῶν καθεστώτων βροτοῖς.
Κρέων γὰρ ἦν ζηλωτός, ὡς ἐμοί, ποτέ·
σώσας μὲν ἐχθρῶν τήνδε Καδμείαν χθόνα,

1143 *Παρνασίαν* **K**, Flor. 31, 1 et 32, 2 (= **Zg**) *Παρνησίαν* rell. || **1145** *κλιτὺν* codd. || **1146** *πνεόντων* codd.: corr. Brunck || **1147** *χοραγὲ* codd. (cf. Ai. 698): post *ἄστρων* collocat **T** | *νυχίων* Brunck *καὶ νυχίων* codd. || **1148** *φλεγμάτων* Dawe || **1149** *Ζηνὸς* Bothe *Διὸς* codd., et licet cretico molosso respondere *δῖον* Seyffert || **1149** sq. *προφάνηθι ναξίαις* codd. (*ξὺν* ante *ναξίαις* add. **T**): corr. Bergk || **1150** sq. *σαῖς θυάσι προσπόλοις* **T** || **1151** *θυιάσιν* codd.: corr. Boeckh *Θυίασιν* Holford-Strevens || **1152** *σε*] *δὲ* **Zf** *δή σε* **T** || **1156** *ὁπηιοῦν* (interrog.: cf. Plat. Symp. 219 d 7) Dawe *ὁποῖον* codd. *ὁπωσδήποτε* **Σ** (*ὁποιονοῦν* **ΣZh**) || **1158** *καταρρέπειν* $L^{s\gamma\rho}S^{s\gamma\rho}$ || **1159** *τόν τ' εὐτυχοῦντα* Blaydes || **1160** *ἐφεστώτων* Blaydes

λαβών τε χώρας παντελῆ μοναρχίαν
ηὔθυνε θάλλων εὐγενεῖ τέκνων σπορᾶι·
καὶ νῦν ἀφεῖται πάντα. καὶ γὰρ ἡδοναὶ
ὅταν προδῶσιν ἀνδρός, οὔτι φήμ' ἐγὼ
ζῆν τοῦτον, ἀλλ' ἔμψυχον ἡγοῦμαι νεκρόν.
πλούτει τε γὰρ κατ' οἶκον, εἰ βούλει, μέγα,
καὶ ζῆ τύραννον σχῆμ' ἔχων· ἐὰν δ' ἀπῆι
τούτων τὸ χαίρειν, τἆλλ' ἐγὼ καπνοῦ σκιᾶς
οὐκ ἂν πριαίμην ἀνδρὶ πρὸς τὴν ἡδονήν.
ΧΟ. *τί δ' αὖ τόδ' ἄχθος βασιλέων ἥκεις φέρων;*
ΑΓ. *τεθνᾶσιν· οἱ δὲ ζῶντες αἴτιοι θανεῖν.*
ΧΟ. *καὶ τίς φονεύει, τίς δ' ὁ κείμενος; λέγε.*
ΑΓ. *Αἵμων ὄλωλεν· αὐτόχειρ δ' αἱμάσσεται.*
ΧΟ. *πότερα πατρώιας ἢ πρὸς οἰκείας χερός;*
ΑΓ. *αὐτὸς πρὸς αὑτοῦ, πατρὶ μηνίσας φόνου.*
ΧΟ. *ὦ μάντι, τοὔπος ὡς ἄρ' ὀρθὸν ἤνυσας.*
ΑΓ. *ὡς ὧδ' ἐχόντων τἄλλα βουλεύειν πάρα.*
ΧΟ. *καὶ μὴν ὁρῶ τάλαιναν Εὐρυδίκην ὁμοῦ,*
δάμαρτα τὴν Κρέοντος· ἐκ δὲ δωμάτων
ἤτοι κλύουσα παιδὸς ἢ τύχηι περᾶι.

1163 *λαβόν* LSYZc *λαχών* Naber ‖ **1164** *εὔθυνε* codd.: corr. Dindorf | *θάλλων τε* L^{ac} | *εὐγενῆ* LT ‖ **1165** *τὰς γὰρ ἡδονὰς* codd.: corr. Hartung, qui et alia minus feliciter mutavit ‖ **1166** *ἄνδρας* ZoT *ἄνδρες* Athenaeus 280c, 547c: et *ες* et *α* supra *-ος* Eustathius 957, 17 | *οὐ τίθημ'* codd.: corr. Meineke, Nauck ‖ **1167** habent Athenaeus et Eustathius, om. codd., sed *οὐ νομίζω ζῆν ἐκεῖνον τὸν ἄνδρα, ὃν ἂν προδῶσιν αἱ ἡδοναί* ΣL ‖ **1171** *πουαίμην* Zf *ποιοίμην* Gleditsch ‖ **1175** *δ'* om. KZc ‖ **1176** sq. del. Jacob ‖ **1177** *αὑτοῦ* AUYZoT *αυ-* Zc *αὐ-* rell. | *μηνύσας* Zo | *φόνωι* L in lin. *-ου* sscr. L^{1} *κόρης* Keck ‖ **1180** *μὴν*] | *νῦν* R ‖ **1182** *ἤτοι*] *ἤδη* R | *περᾶι* Brunck *πάρα* codd.

ΕΥΡΥΔΙΚΗ

ὦ πάντες ἀστοί, τῶν λόγων ἐπῃσθόμην
πρὸς ἔξοδον στείχουσα, Παλλάδος θεᾶς
ὅπως ἱκοίμην εὐγμάτων προσήγορος.
καὶ τυγχάνω τε κλῇιθρ' ἀνασπαστοῦ πύλης
χαλῶσα, καί με φθόγγος οἰκείου κακοῦ
βάλλει δι' ὤτων· ὑπτία δὲ κλίνομαι
δείσασα πρὸς δμωαῖσι κἀποπλήσσομαι.
ἀλλ' ὅστις ἦν ὁ μῦθος αὖθις εἴπατε·
κακῶν γὰρ οὐκ ἄπειρος οὖσ' ἀκούσομαι.

ΑΓ. *ἐγώ, φίλη δέσποινα, καὶ παρὼν ἐρῶ*
κοὐδὲν παρήσω τῆς ἀληθείας ἔπος.
τί γάρ σε μαλθάσσοιμ' ἂν ὧν ἐς ὕστερον
ψεῦσται φανούμεθ'; ὀρθὸν ἀλήθει' ἀεί.
ἐγὼ δὲ σῶι ποδαγὸς ἑσπόμην πόσει
πεδίον ἐπ' ἄκρον, ἔνθ' ἔκειτο νηλεὲς
κυνοσπάρακτον σῶμα Πολυνείκους ἔτι·
καὶ τὸν μέν, αἰτήσαντες ἐνοδίαν θεὸν
Πλούτωνά τ' ὀργὰς εὐμενεῖς κατασχεθεῖν,
λούσαντες ἁγνὸν λουτρόν, ἐν νεοσπάσιν
θαλλοῖς ὃ δὴ 'λέλειπτο συγκατήιθομεν,
καὶ τύμβον ὀρθόκρανον οἰκείας χθονὸς
χώσαντες, αὖθις πρὸς λιθόστρωτον κόρης

1183 *τοῦ λόγου* **Zf** *τοῦ λόγου γ'* **AUY** || **1184** *θεᾶς*] *βρέτας* Nauck, M. Schmidt || **1186** *τε* **LSZcZoT** *δὲ* **K** *γε* **L**^{s} s. l., rell. | *κλῇιθρ'* **L** *κλεῖθρ'* rell. | *ἀνασπάστου* Blaydes || **1189** *δμώεσσι* **L**^{s} s. l., **VZf** | *κἀπι-* **KRZoT** || **1195** *ἡ ἀλήθει'* codd.: corr. Hermann || **1196** *εἰπόμην* **R**, coni. Blaydes *ἑπόμην* **SZc** || **1197** *πεδίον* **LAUY** *πεδίων* rell. | *ἄκρον* **AUY** *ἄκρων* rell. || **1198** *πολυσπάρακτον* **S** || **1199** *τὸν μέν*] *τοῦτον* **S** || **1200** *δυσμενεῖς* Dawe | *κατασχέθειν* codd.: corr. Elmsley || **1202** *λέλειπτο* codd.: corr. Dindorf

νυμφεῖον Ἅιδου κοῖλον † εἰσεβαίνομεν †.
φωνῆς δ' ἄπωθεν ὀρθίων κωκυμάτων
κλύει τις ἀκτέριστον ἀμφὶ παστάδα,
καὶ δεσπότηι Κρέοντι σημαίνει μολών·
τῶι δ' ἀθλίας ἄσημα περιβαίνει βοῆς
ἕρποντι μᾶλλον ἆσσον, οἰμώξας δ' ἔπος
ἵησι δυσθρήνητον· ὦ τάλας ἐγώ,
ἆρ' εἰμὶ μάντις; ἆρα δυστυχεστάτην
κέλευθον ἕρπω τῶν παρελθουσῶν ὁδῶν;
παιδός με σαίνει φθόγγος. ἀλλά, πρόσπολοι,
ἴτ' ἆσσον ὠκεῖς, καὶ παραστάντες τάφωι
ἀθρήσαθ' ἁρμὸν χώματος λιθοσπαδῆ
⟨.............................⟩
δύντες πρὸς αὐτὸ στόμιον, εἰ τὸν Αἵμονος
φθόγγον συνίημ' ἢ θεοῖσι κλέπτομαι.
⟨.............................⟩
τάδ' ἐξ ἀθύμου δεσπότου, κελεύμασι
⟨.............................⟩
ἠθροῦμεν· ἐν δὲ λοισθίωι τυμβεύματι
τὴν μὲν κρεμαστὴν αὐχένος κατείδομεν,
βρόχωι μιτώδει σινδόνος καθημμένην,
τὸν δ' ἀμφὶ μέσσηι περιπετῆ προσκείμενον,
εὐνῆς ἀποιμώζοντα τῆς κάτω φθορὰν

1205 *ὁδὸν* vel *αἶψ'* pro *εἰσ-* Dawe ‖ **1208** *μαθών* L^{s} s.l., **RV** ‖ **1215** *.φ.* ante *τάφωι* **L** ‖ **1216** post hunc versum lacunam indicavit Dawe ‖ **1217** *εἰ* **LAUYZ**f^{ac} *ἢ* **T** *ἢ* **Z**f^{pc} rell. ‖ **1218** lacunam sequentem indicavit Meineke ‖ **1219** *κελεύσμασι* codd. *κελευσμάτων* Burton | lacunam sequentem indicavit Hermann ‖ **1222** *μιτώιδη* L^{ac}, cum *ει* supra *η*: *ρ* inter *τ* et *ω* add. L^{s} *μητ*ώδει* **K**, *η* in *ϊ* corr. K^{pc} *μιτρώδει* **VAUY** ‖ **1223** *μέσσηι* **LAUYZc** *μέσηι* rell. | *περιπετῶ* **R** ‖ **1224** *εὐνῆς*] *νύμφης* Blaydes | *τοῖς* **ZcZo**

[καὶ πατρὸς ἔργα καὶ τὸ δύστηνον λέχος.]
ὁ δ' ὡς ὁρᾶι σφε, στυγνὸν οἰμώξας ἔσω
χωρεῖ πρὸς αὐτὸν κἀνακωκύσας καλεῖ·
ὦ τλῆμον, οἷον ἔργον εἴργασαι· τίνα
νοῦν ἔσχες; ἐν τῶι συμφορᾶς διεφθάρης;
ἔξελθε, τέκνον· ἱκέσιός σε λίσσομαι.
τὸν δ' ἀγρίοις ὄσσοισι παπτήνας ὁ παῖς,
πτύσας προσώπωι κοὐδὲν ἀντειπών, ξίφους
ἕλκει διπλοῦς κνώδοντας· ἐκ δ' ὁρμωμένου
πατρὸς φυγαῖσιν ἤμπλακ'· εἶθ' ὁ δύσμορος
αὑτῶι χολωθείς, ὥσπερ εἶχ', ἐπενταθεὶς
ἤρεισε πλευραῖς μέσσον ἔγχος· ἐς δ' ὑγρὸν
ἀγκῶν' ἔτ' ἔμφρων παρθένον προσπτύσσεται·
κἀκφυσιῶν ὀξεῖαν ἐμβάλλει ῥοὴν
λευκῆι παρειᾶι φοινίου σταλάγματος.
κεῖται δὲ νεκρὸς περὶ νεκρῶι, τὰ νυμφικὰ
τέλη λαχὼν δείλαιος ἔν γ' Ἅιδου δόμοις,
δείξας ἐν ἀνθρώποισι τὴν ἀβουλίαν
ὅσωι μέγιστον ἀνδρὶ πρόσκειται κακόν.
ΧΟ. *τί τοῦτ' ἂν εἰκάσειας; ἡ γυνὴ πάλαι*
φρούδη, πρὶν εἰπεῖν ἐσθλὸν ἢ κακὸν λόγον.
ΑΓ. *καὐτὸς τεθάμβηκ'· ἐλπίσιν δὲ βόσκομαι*

1225 hunc versum, et 1224, eiecit Blaydes ‖ **1228** *οἷον* **KSAUYT** *ποῖον* **LRVZcZfZo** ‖ **1229** *διεφθάρη* **Zf** ‖ **1232** *ξίφους*] *ὅλως* **LRV**, verum L^1 vel L^s s. l. om. **Zc** *ξίφους* in ras. scr. **Zf** ‖ **1235** om. **R** ‖ **1236** *μέσσον* **A**, **U** s. l., **Y** *μέσον* **U** in lin., rell. | *ἐς*] *ἐν* **SZoT** ‖ **1237** *παρθένον* **Zf**, coni. Brunck *παρθένωι* rell. ‖ **1238** *καὶ φυσιῶν* codd.: corr. Blaydes | *ἐμβάλλει* Berol. Phillipps 1588, coni. Mitchell *ἐμβάλει* Flor. 31, 1 et 32, 2 (= **Zg**) *ἐκβάλλει* codd. nostri | *ῥοὴν* **LKRV** om. **Zc** *πνοὴν* rell., et legit **Σ** ‖ **1241** *ἔν γ'* Heath *εἰν* **KAUYT** *ἐν* rell. ‖ **1243** *ὅσον* **KZc** ‖ **1244** *πάλαι* (i. e. 'nuper') **R** *πάλιν* rell.

ἄχη τέκνου κλύουσαν ἐς πόλιν γόους
οὐκ ἀξιώσειν, ἀλλ' ὑπὸ στέγης ἔσω
δμωαῖς προθήσειν πένθος οἰκεῖον στένειν.
γνώμης γὰρ οὐκ ἄπειρος, ὥσθ' ἁμαρτάνειν.

ΧΟ. *οὐκ οἶδ'· ἐμοὶ δ' οὖν ἥ τ' ἄγαν σιγὴ βαρὺ*
δοκεῖ προσεῖναι χὴ μάτην πολλὴ βοή.

ΑΓ. *ἀλλ' εἰσόμεσθα μή τι καὶ κατάσχετον*
κρυφῆι καλύπτει καρδίαι θυμουμένηι,
δόμους παραστείχοντες· εὖ γὰρ οὖν λέγεις·
καὶ τῆς ἄγαν γάρ ἐστί που σιγῆς βάρος.

ΧΟ. *καὶ μὴν ὅδ' ἄναξ αὐτὸς ἐφήκει*
μνῆμ' ἐπίσημον διὰ χειρὸς ἔχων,
εἰ θέμις εἰπεῖν, οὐκ ἀλλοτρίαν
ἄτην ἀλλ' αὐτὸς ἁμαρτών.

ΚΡ. *ἰὼ* *στρ. α*
φρενῶν δυσφρόνων ἁμαρτήματα
στερεὰ θανατόεντ'·
ὢ κτανόντας τε καὶ
θανόντας βλέποντες ἐμφυλίους·
ὤμοι ἐμῶν ἄνολβα βουλευμάτων.
ἰὼ παῖ, νέος νέωι ξὺν μόρωι,
αἰαῖ αἰαῖ,
ἔθανες, ἀπελύθης,
ἐμαῖς οὐδὲ σαῖσι δυσβουλίαις.

1247 *τέκνων* **Zf** | *κλαίουσαν* Vat. gr. 910 *ἐν πόλει* Blaydes | *γόους*] *γόνος* **S** *λόγους* **Zo** *γόου* Pearson ‖ **1248** *ἐξαΰσειν* Rauchenstein *ἐξιύξειν* J. U. Powell ‖ **1249** *στέγειν* **Zc** ‖ **1250** versum del. Meineke: fort. olim fuit *γνώμη* (Rauchenstein) *γὰρ οὐκ ἀτηρός* ‖ **1254** *καλύπτηι* **SYZc** ‖ **1258** *ἄγων* **V** ‖ **1261** *δυσφόρων* **K** in lin., **S** ‖ **1263** *θανατόεντά τ'* **T** ‖ **1264** *ἐμφυλία* **R** *ἐμφυλίαν* **Zf** in lin. ‖ **1265** *ὤμοι* seu *ὦμοι* **T** *ἰώ μοι* rell. ‖ **1266** *παῖ παῖ* **T** | *ξὺν μόρωι* **RSZoT** *συμμόρωι* **K** *ξυμμόρωι* rell. ‖ **1267** *αἶ* quater **V** bis **Zf** *αἴ* septies **Zc** *αἶ* ter rell.


ΧΟ. οἴμ' ὡς ἔοικας ὀψὲ τὴν δίκην ἰδεῖν.

ΚΡ. οἴμοι, στρ. β
ἔχω μαθὼν δείλαιος· ἐν δ' ἐμῶι κάραι
θεὸς τότ' ἄρα τότε μέγα βάρος δικὼν
ἔπαισεν, ἐν δ' ἔσεισεν ἀγρίαις ὁδοῖς,
οἴμοι, λακπάτητον ἀντρέπων χαράν.
φεῦ φεῦ, ἰὼ πόνοι βροτῶν δύσπονοι.

ΕΞΑΓΓΕΛΟΣ
ὦ δέσποθ', ὡς ἔχων τε καὶ κεκτημένος
⟨πάρει σὺ πολλὰ δεινά θ'· ὡς πάρεστί σοι⟩
τὰ μὲν πρὸ χειρῶν τάδε φέρειν, τὰ δ' ἐν δόμοις
ἔοικας ἥκειν καὶ τάχ' ὄψεσθαι κακά.
ΚΡ. τί δ' ἔστιν αὖ κάκιον ἐκ κακῶν ἔτι;
ΕΞ. γυνὴ τέθνηκε, τοῦδε παμμήτωρ νεκροῦ,
δύστηνος, ἄρτι νεοτόμοισι πλήγμασιν.

ΚΡ. ἰώ, ἀντ. α
ἰὼ δυσκάθαρτος Ἅιδου λιμήν,

1270 *ἔχειν* $L^{s\gamma\rho}$ || **1271** *οἴμοι* om. **AUY** || **1272** *μαθεῖν* **S** || **1273** *δικὼν* Dawe *ἔχων* **SVZfZoT** *μ' ἔχων* rell. | *τότ' ἄρα τότε θεός με μέγα βάρος ἔχων* Meineke || **1274** *ἔπαισέ μ* sine elisionis nota **R**: *ἔπαισέ μ'* Blaydes || **1275** *λακπάτητον* **L**K^{ac}**Zo** *λεωπάτητον* **AUY** *λαο- γρ.* in **AUY** *λέξ πατητὸν* **Zc** *λαξ* πάτητον* **Zf** *λαξπάτητον* K^{pc} rell., et Eustathius 625, 21; 796, 5 || **1276** *ὦ* **T** || **1278** *Ἐξάγγελος* **T** *Ἄγγελος* **Zo** *Οἰκέτης* rell. || **1277** lacunam sequentem indicavit et sic ex. gr. explevit Dawe || **1279** *φέρειν* Hartung *φέρων* codd. (om. **R**) || **1280** *ἥκων* (hoc iam Brunck) *αὐτίκ'* Blaydes | *τάχ'* **LKVZf** *τά γ'* **AZoT** *τάδ'* **RUYZc** *τά τ'* **S** || **1281** *ἐκ* Canter *ἢ* codd. || **1282** *Ἐξάγγελος* **ZoT** *Οἰκέτης* rell. | *δυσμήτωρ* Herwerden || **1284** sqq.: sunt codd. qui personae notam omittant aut falsam praebeant



τί μ' ἄρα τί μ' ὀλέκεις;
ὦ κακάγγελτά μοι
προπέμψας ἄχη, τίνα θροεῖς λόγον;
αἰαῖ, ὀλωλότ' ἄνδρ' ἐπεξειργάσω.
τί φῄς, παῖ, τίν' αὖ λέγεις μοι νέον,
αἰαῖ αἰαῖ,
σφάγιον ἐπ' ὀλέθρωι
γυναικεῖον ἀμφικεῖσθαι μόρον;

ΧΟ. ὁρᾶν πάρεστιν· οὐ γὰρ ἐν μυχοῖς ἔτι.

ΚΡ. οἴμοι, ἀντ. β
κακὸν τόδ' ἄλλο δεύτερον βλέπω τάλας.
τίς ἄρα, τίς με πότμος ἔτι περιμένει;
ἔχω μὲν ἐν χείρεσσιν ἀρτίως τέκνον,
τάλας, τὰν δ' ἔναντα προσβλέπω νεκρόν.
φεῦ φεῦ μᾶτερ ἀθλία, φεῦ τέκνον.

ΕΞ. ἥδ' † ὀξύθηκτος ἥδε βωμία πέριξ †
⟨. . . . .⟩
⟨. . . . .⟩
λύει κελαινὰ βλέφαρα, κωκύσασα μὲν

1286 *ὦ* Tournebou *ἰὼ* codd. || **1287** *τίν' αὐδᾶις* e coniectura **T** || **1288** *ἄνδρ'* **RSZfZoT** *ἄνδρα* rell. | *ἐξειργάσω* **Zf** || **1289** *παῖ* recc. Tricliniani *ὦ παῖ* codd. nostri | *τίν' αὖ* Enger *τίνα* codd. | *μοι* om. **T** | *νέον* recc. Tricliniani, coni. Seidler *λόγον νέον* **S** *νέον λόγον* rell. || **1290** *αἰαῖ αἰαῖ* Dindorf *αἶ* quater **Zo** *αἶ* bis **S**, ter rell. || **1293** *ΧΟ.* Erfurdt *Ἐξάγγελος* **ZoT** *Ἄγγελος* rell. || **1298** *τὰν δ'* Wecklein *τήνδ'* **R** *τάδ'* **LZf** *τόδ'* **S** *τόνδ'* rell. | *ἔναντα* **L**$^{s\gamma\rho}$**AUY** *ἔναντι* **T** *ἐναντία* rell. || **1301** *Ἐξάγγελος* **ZoT** *χορὸς* **R** om. **L**^{ac} *χορὸς ἢ ἄγγελος* rell. | *ὀξυθήκτωι βωμία περὶ ξίφει* Arndt | *βωμία πέριξ*] *βωμίαι πληγῆι* **Zh** | post hunc versum lacunam indicavit Brunck: cf. 1278 sqq. || **1302** *μύει* seu *κλήιει* Wieseler

τοῦ πρὶν θανόντος Μεγαρέως κλαυτὸν λάχος,
αὖθις δὲ τοῦδε, λοίσθιον δὲ σοὶ κακὰς
πράξεις ἐφυμνήσασα τῶι παιδοκτόνωι.

ΚΡ. αἰαῖ αἰαῖ, στρ. γ
ἀνέπταν φόβωι. τί μ' οὐκ ἀνταίαν
ἔπαισέν τις ἀμφιθήκτωι ξίφει;
δείλαιος ἐγώ, αἰαῖ,
δειλαίαι δὲ συγκέκραμαι δύαι.

ΕΞ. ὡς αἰτίαν γε τῶνδε κἀκείνων ἔχων
πρὸς τῆς θανούσης τῆσδ' ἐπεσκήπτου μόρων.
ΚΡ. ποίωι δὲ κἀπελύετ' ἐν φοναῖς τρόπωι;
ΕΞ. παίσασ' ὑφ' ἧπαρ αὐτόχειρ αὐτήν, ὅπως
παιδὸς τόδ' ᾔσθετ' ὀξυκώκυτον πάθος.

ΚΡ. ὤμοι μοι, τάδ' οὐκ ἐπ' ἄλλον βροτῶν στρ. δ
ἐμᾶς ἁρμόσει ποτ' ἐξ αἰτίας.
ἐγὼ γάρ σ' ἐγώ σ' ἔκανον, ὦ μέλεος,

1303 *κλαυτὸν* Kratz *κλεινὸν* codd. *αἰνὸν* Blaydes | *λέχος* codd.: corr. Bothe || **1306** *αἶ* ter **KZo** septies **Zc** || **1308** *οὐ καιρίαν* $L^{s\gamma\rho}$S, verum $S^{\gamma\rho}$ || **1310** *ἄθλιος* **T**, coniecturam fassus: sed syllaba altera in *δείλαιος* corripitur | *ἐγώ*] *ἐγὼ συγκέκραμαι δύαι* L^{ac} | *αἰαῖ* metri gr. Erfurdt *φεῦ φεῦ* codd. || **1312** *Ἐξάγγελος* **ZoT** *Οἰκέτης* **AUY** *Ἄγγελος* rell. || **1313** *μόρων* **KSZcT** *μόρωι* rell. || **1314** *κἀπελύσατ'* codd.: corr. Pearson, praeeunte Nauck (*κἀλύετ'*): *ἐλύετο καὶ ἐφέρετο εἰς φονάς* periphrasis **ΣL** | *εἰς φονάς* L^{s} s.l. *ἐν φρενὸς* **K** (*φοναῖς* **K** i.m.) || **1315** *Ἐξάγγελος* **ZoT** *Ἄγγελος* rell. | *ὑφ'* A^{c} || **1317** *ὤμοι*] *οἴμοι* Zc^{ac} *οἴωμοι* Zc^{pc} | *ἀπ' ἄλλων* **Zc** *ἐπ' ἄλλα* **Zf** *ἐπ' ἄλλωι* Pallis || **1318** *ἐμᾶς δ'* **Zc** *ἐμᾶς γ'* Neapol. II F 36 | *ποτ'*] *τις πότ'* **K** || **1319** *σ' ἔκανον* Hermann *ἔκτανον* K^{ac}**UY** *ἔκανον* rell. *'κανον, ἰὼ* Bruhn | *ὦ* om. **T** *ὁ* **KRSV**

ἐγώ, φάμ' ἔτυμον. ἰὼ πρόσπολοι,
ἀπάγετέ μ' ὅ τι τάχος, ἄγετέ μ' ἐκποδών,
τὸν οὐκ ὄντα μᾶλλον ἢ μηδένα.

ΧΟ. *κέρδη παραινεῖς, εἴ τι κέρδος ἐν κακοῖς·*
βράχιστα γὰρ κράτιστα τἀν ποσὶν κακά.

ΚΡ. *ἴτω ἴτω,* ἀντ. γ
φανήτω μόρων ὁ κάλλιστ' ἔχων
ἐμοὶ τερμίαν ἄγων ἀμέραν
ὕπατος· ἴτω ἴτω,
ὅπως μηκέτ' ἦμαρ ἄλλ' εἰσίδω.

ΧΟ. *μέλλοντα ταῦτα· τῶν προκειμένων τι χρὴ*
πράσσειν· μέλει γὰρ τῶνδ' ὅτοισι χρὴ μέλειν.
ΚΡ. *ἀλλ' ὧν ἐρῶ μέν, ταῦτα συγκατηυξάμην.*
ΧΟ. *μή νυν προσεύχου μηδέν· ὡς πεπρωμένης*
οὐκ ἔστι θνητοῖς συμφορᾶς ἀπαλλαγή.

ΚΡ. *ἄγοιτ' ἂν μάταιον ἄνδρ' ἐκποδών,* ἀντ. δ
ὅς, ὦ παῖ, σέ γ' οὐκ ἑκὼν κατέκανον –
σύ τ' αὖ τάνδ' – ὤμοι μέλεος· οὐδ' ἔχω

1322 *ἀπάγετέ* metri gr. Schoene *ἄγετέ* codd. | *τάχιστ'* Erfurdt | *ἄγετέ μ' ἐκποδών, ἄγετε μ' ὅτι τάχος* Wolff-Bellermann || **1327** *βράχιστα*] *κράτιστα* L[sγρ] recc. | *κράτιστα*] *τάχιστα* L[sγρ] *κάκιστα* **ZoT** *βράχιστα* **Zh**[gl] | *τἀμ* **KVZc** || **1330** *ἔχων* Pallis *ἐμῶν* codd. || **1331** *τερμάτων* **Zf** || **1333** *ἦμαρ* Dawe *ἆμαρ* codd. || **1334** *Χορός* Buttmann *Ἐξάγγελος* **ZoT** *Ἄγγελος* rell. || **1336** *ἐρῶ μέν*] *ἐρῶ* **LZcZf** *ἐρῶ νυν* Flor. 31, 1 et 32,2, (= **Zg**) *ἐρῶμεν* **V** *ἐρῶ 'γώ* Blaydes | *πάντα* Dawe: *ἐρῶ γ' ἅπαντα* iam Seyffert *ταῦτα καὶ κατηυξάμην* Blaydes || **1337** *Χορός* Mediol. C 24 sup., Monac. 500, coni. Buttmann *Ἐξάγγελος* **ZoT** *Ἄγγελος* rell. | *κατεύχου* **Zc**, coni. Benedict || **1339** *ἐμποδὼν* voluit **L**[1] s. l. || **1340** *τ'* **RAUY** | *κατέκανον* Schneider *κατέκτα* **T** *κατέκτανον* rell. || **1341** *σύ* Dawe *ὅς σέ* codd. *σέ* Hermann | *τ' αὖ τάνδ'* Seidler *ταῦτ' ἂν* **Zf** *τ' αὐτὰν* rell.

† ὅπαι πρὸς πρότερον ἴδω πᾶι καὶ θῶ· πάντα γὰρ †
λέχρια τἀν χεροῖν, τὰ δ' ἐπὶ κρατί μοι
πότμος δυσκόμιστος εἰσήλατο.

ΧΟ. πολλῶι τὸ φρονεῖν εὐδαιμονίας
πρῶτον ὑπάρχει· χρὴ δὲ τά γ' εἰς θεοὺς
μηδὲν ἀσεπτεῖν· μεγάλοι δὲ λόγοι
μεγάλας πληγὰς τῶν ὑπεραύχων
ἀποτείσαντες
γήραι τὸ φρονεῖν ἐδίδαξαν.

1343 *ὅπαι* del. Seidler | *πρὸς* om. **RZc** | *πότερον* **VAUYT** | *καὶ θῶ*] *καί τεθήσομαι* Zc *κλιθῶ* Musgrave | *γὰρ* om. **S** | *πάντα γὰρ* eiecit Nauck || **1345** *λέχρια* om. **T** | *τἀν* Brunck *τά τ'· ἐν* **T** *τάδ' ἐν* rell. | *τὰ δ'*] *γὰρ τά τ'* **T** || **1349** *γ'* **T** *τ'* rell.

CONSPECTVS METRORVM

100–109 = 117–126

100/117	–⏓–⏑⏑–⏑–	glyc.
101/118	–⏑–⏑⏑–⏑–	glyc.
102/119	–––⏑⏑–⏑𝄐	glyc.
103/120	⏑––⏑ –⏑⏑–	chor. dim. B
104/121	–⏑–⏑⏑–––	glyc.
105/122	–⏑–⏑⏑–⏑–⏒	hipp.
106/123	–––– –⏑⏑–	chor. dim. B
107/124	–⏑–⏑ –⏑⏑–	chor. dim. B
108/125	⏑⏑ ⏑ ⏑⏑ ⏑ –⏑⏑–	chor. dim. B
109/126	–––⏑⏑–––	pher.

134–140 = 148–154

134/148	–⏑⏑–⏑⏑–⏑⏑–⏑––	praxill.
135/149	–⏑⏑–⏑⏑–⏑⏑–⏑––	praxill.
136/150	–––⏑⏑–	dodrans B
137/151	–––– –⏑⏑–	chor. dim. B
138/152	⏑–⏑– –⏑–	ia. dim. sync.
139a/153a	–⏑⏑– –⏑⏑–	chor. dim.
139b/153b	–⏑⏑– –⏑⏑–	chor. dim.
140/154	– –⏑⏑ ––	reiz.

332–341 = 342–352

332/342	–⏑⏑– ⏑–⏑–	chor. dim. A
333/343	–––⏑⏑–⏑–	glyc.
334/344	–⏒–⏑⏑–⏑–	glyc.
335/345	–––⏑⏑–⏑–	glyc.
336/346	––⏑–⏑⏑––	chor. enopl. B
337/347	⏑–⏑– ⏑–⏑–	ia. dim.

338/348	⏑–⏑– ⏑––	ia. dim. cat.
339/350	–⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑	dactyl. tetram.
340/351	–⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑	dactyl. tetram.
341/352	–– –⏑–⏑––	sp. + ithyph.

353–364 = 365–375

353/365	⏒ –⏑⏑–⏑⏑–	prosod.
354/366	⏑ –⏑⏑–⏑⏑–	prosod.
355/367	⏕ –⏑⏑–⏑⏑– ⏑––	prosod. + ba.
356/368	⏑–⏑– –⏑–	ia. dim. sync.
357/369	⏑–⏑– –⏑–	ia. dim. sync.
360/370	–⏑ ⏑⏑ ⏑ ⏑⏑ ⏑–⏑ –⏑–	troch. trim. cat.
361/371	⏑–⏑– –⏑–	ia. dim. sync.
362/372	–⏑–⏑–⏑–	lekyth.
363/373	⏑–⏑– ⏑–⏑–	ia. dim.
364/375	–⏑– –	troch.

583–592 = 594–603

583/594	– –⏑⏑–⏑⏑– ⏓ –⏑– –	D ⏓ e –
584/595	–⏑– – –⏑⏑–⏑⏑– –	e – D –
585-6/596-7	–⏑– ––⏑⏑–⏑⏑– ⏑–⏓	e – D + ba.
587/598	⏑–⏑– ⏑–⏑–	ia. dim.
588/599	–⏑–⏑–⏑–	lekyth.
589/600	––⏑ ⏑⏑ ⏑ ⏑⏑ ⏑ ⏓⏓ ⏑–⏑⏓	ia. trim.
590/601	⏑–– –⏑–	ia. dim. sync.
591/602	⏑–– –⏑– ⏑–⏑–	ia. trim. sync.
592/603	⏑–⏑– ⏑–⏑– ⏑––	ia. trim. cat.

604–614 = 615–625

604/615	⏓– –⏑⏑–⏑–	glyc.
605/616	–⏓–⏑⏑–⏑––	hipp.
606/617	– –⏑⏑– –⏑⏑– ⏑––	anc. + 2 chor. + ba.
607/618	–⏑⏑–⏑––	aristoph.
608/619	–⏑⏑– –⏑⏑–	chor. dim.
609/620	⏑––⏑⏑–⏑––	hipp.
610/621	–⏑⏑–⏑––	aristoph.

611/622	⏑⏑–⏑–⏑––	anacr.
612/623	––⏑⏑–⏑–	teles.
613/624	⏑⏑ ⏑–⏑––	ithyph.
614/625	– –⏑⏑– –⏑⏑– ⏑––	anc. + 2 chor. + ba.

781–790 = 791–800

781/791	⏑–⏑– –⏑⏑–	chor. dim. B
782/792	⏑–⏑– –⏑⏑– –	chor. dim. B + anc.
783/793	⏑–⏑⏑–⏑––	chor. enopl. A
784/794	⏑–⏑⏑–⏑––	chor. enopl. A
785/795	––⏑– –⏑⏑–	chor. dim. B
786/796	–⏑⏑– ––	chor. + sp.
787/797	–– –⏑⏑– –⏑⏑– –	ascl. minor cat.
789/799	– –⏑⏑–⏑––	chor. enopl. A
790/800	–⏑⏑–⏑––	aristoph.

806–816 = 823–833

806/823	⏒–⏑– –⏑⏑– ⏑––	chor. dim. B + ba.
807/824	–⏑⏑–⏑–	dodr. A
808/825	–⏓–⏑⏑–⏑–	glyc.
809/826	–––⏑ –⏑⏑–	chor. dim. B
810/827	–⏒–⏒ –⏑⏑–	chor. dim. B
811/828	–⏓–– –⏑⏑–	chor. dim. B
812/829	–⏑⏑–⏒	adon.
813/830	–– –⏑⏑––	pher.
814/831	––⏑ –⏑⏑–	chor. dim. B sync.
815/832	–––⏑⏑–⏑–	glyc.
816/833	–⏑–⏑⏑–⏑– ––	glyc. + sp.

839–856 = 858–875

839/858	––⏑– –⏑⏑– ⏑–⏑–	ia. + chor. dim. A
840/859	–– –⏑⏑–⏑–	glyc.
841/860	––⏑⏑––	reiz.
842/861	–⏑⏑–⏑–	dodrans A
843/862	⏒– –⏑⏑––	pher.
844/863	–– –– –– ––	4 sp.

845/864	–– –⏑⏑–⏑–	glyc.
846/865	–⏓ –⏑⏑–⏑– ––	glyc. + sp.
847/866	––⏑– ⏑–⏑– –⏑–	ia. trim. sync.
848/867	⏑–⏑– ⏑⏓⏓⏑–	ia. dim.
849/868	⏑–⏑– ⏑–⏑–	ia. dim.
850/869	⏑–– ⏓–⏑–	ia. dim. sync.
851/870	–⏑⏑–⏑––	aristoph.
852/871	⏑–⏑– –⏑– ⏑–⏑̇	ia. trim. sync. cat.
853/872	⏑–⏑– ⏑–⏑–	ia. dim.
854/873	⏓–⏑– ⏑–⏑–	ia. dim.
855/874	⏑ ⏑⏑ ⏑– ⏑–⏑–	ia. dim.
856/875	⏑–– –⏑– ⏑––	ia. trim. sync. cat.

876–882

876	⏑–⏑ ⏑⏑ ⏑ ⏑⏑ ⏑–	ia. dim.
877	⏑–⏑– –⏑⏑–	chor. dim. B
878	–⏑– –⏑𝄐	2 cr.
879	–⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑	dactyl. tetram.
880	–⏑ ⏑⏑ ⏑ –⏑––	troch. dim.
881	–⏑–⏑ ⏑⏑⏑–⏑	troch. dim.
882	––⏑– ⏑––	ia. dim. cat.

944–954 = 955–965

944/955	–– –⏑⏑– –⏑⏑– ⏓̇	sp. + 2 chor. + anc.
945/956	–– –⏑⏑– –⏑⏑–	sp. + 2 chor.
946/957	–––⏑⏑––	pher.
947/958	–––⏑⏑–⏑– ––	glyc. + sp.
948/959	–– –⏑⏑– –⏑⏑– ––	sp. + 2 chor. + sp.
950/960	–– –⏑⏑– –⏑⏑– –⏑⏑–	sp. + 3 chor.
951/962	–– –⏑⏑– –⏑⏑– ––	sp. + 2 chor. + sp.
952/963	––⏑– ⏑–⏑–	ia. dim.
953/964	⏓–⏑– ⏑–⏑–	ia. dim.
954/965	⏑–– –⏑– ⏑––	ia. trim. sync. cat.

968–976 = 979–987

968/979	⏑⏑ ⏑–⏑⏑–⏑⏑–⏑⏑–⏑–	aeol. dact.

969/980	–– –⏑⏑–⏑⏑–––⏑–	aeol. dact.
970/981	–– –⏑⏑– ⏒⏒⏑⏑–	sp. + chor. dim.
971/982	––⏑– ––	ia. + sp.
972/983	–⏑⏑–⏑––	aristoph.
973/984	⏑–⏑– –⏑– ⏑–⏒	ia. trim. sync. cat.
974/985	⏑ ⏑⏑ ⏑– ⏑–⏑⏕ ⏑–⏑–	ia. trim.
975/986	⏑–– –⏑– ⏑––	ia. trim. sync. cat.
976/987	––⏑– –⏑– ⏑––	ia. trim. sync. cat.

1115–1125 = 1126–1136

1115/1126	⏑⏑–⏑⏑– ––⏑– ⏑–⏓	anap. monom. + ia. dim. cat.
1116/1127	–⏑–⏑ –⏑⏑–	chor. dim. B
1118/1129	⏒–⏑– ⏒–⏑–	ia. dim.
1119/1130	–⏑⏑–⏑–⏑	aristoph.
1120/1131	–⏓–⏒ –⏑⏑–	chor. dim. B
1121/1132	–– –– –– ––	4 sp.
1122/1133	–⏓ –⏑⏑–––	glyc.
1123/1134	–⏑–⏑⏑⏒	dodr. B
1124/1135	–––– –⏑⏑–	chor. dim. B
1125/1136	⏑–⏑– ⏑––	ia. dim. cat.

1137–1145 = 1146–1154

1137/1146	––– –––	2 mol.
1138/1147	⏑–⏒ –⏑⏑–	aceph. chor. dim. B
1139/1148	–⏑–⏑–⏑⏓	lekyth.
1140/1149	–––⏑⏑–⏑⏑–	sp. + hemiepes
1141/1150	–––⏑⏑ ⏑⏑ ⏑–	glyc.
1143/1152	⏒ –⏑–⏑ –⏑⏑– –⏑–	anc. + chor. dim. B + cr.
1145/1154	⏑––⏑ –⏑⏑– ⏑––	chor. dim. B + ba.

1261–1269 = 1284–1292

1261a/1284a	––	sp.
1261b/1284b	⏑––⏑– ⏑––⏑–	dochm. dim.
1262/1285	⏑ ⏑⏑ ⏑⏑ ⏑–	dochm.
1263/1286	–⏑– –⏑–	2 cr.
1264/1287	⏑––⏑– ⏑⏕–⏑⏓	dochm. dim.

1265/1288	–⏑⏑–⏑– ⏑––⏑–	dochm. dim.
1266/1289	⏑––⏑– ⏑––⏑⏓̇	dochm. dim.
1267/1290	–– ––	2 sp.
1268/1291	⏑ ⏑⏑ ⏑⏑ ⏑–	dochm.
1269/1292	⏑––⏑– ⏑––⏑⏓̇	dochm. dim.

1271–1276 = 1294–1300

1271/1294	––	sp.
1272/1295	⏑–⏑– ⏓–⏑– ⏑–⏑–	ia. trim.
1273/1296	⏑⏓⏓⏑̄⏑̄⏑⏑̄⏑̄ ⏑ ⏑⏑ ⏓⏓⏑–	dochm. dim.
1274/1297	⏑–⏑– ⏑̄–⏑– ⏑–⏑–	ia. trim.
1275/1298	⏓–– ⏑– ⏑– ⏑–⏑–	mol./ba. + ia. dim.
1276/1300	–⏑̄⏑̄–⏑– ⏑––⏑⏓̇	dochm. dim.

1306–1311 = 1328–1333

1306/1328	⏑–⏑–	ia.
1307/1330	⏑––⏑– ⏑––⏓–	dochm. dim.
1309/1331	⏑––⏑– ⏑––⏑–	dochm. dim.
1310/1332	⏓ ⏑⏑ ⏑⏑ ⏑–	dochm.
1311/1333	⏓––⏑– ⏑––⏑–	dochm. dim.

1317–1325 = 1339–1347

1317/1339	⏓––⏑– ⏑––⏑–	dochm. dim.
1318/1340	⏑––⏑– ⏑–⏓⏓⏑⏓̇	dochm. dim.
1319/1341	⏑––⏓– ⏑⏑⏑–⏑⏑̄⏑̄	dochm. dim.
1320/1343	⏑– –⏑ ⏑⏑ ⏑––⏑–	dochm. dim.
1322/1345	⏑⏑⏑⏑̄⏑̄⏑⏑̄⏑̄ ⏑ ⏑⏑ –⏑–	dochm. dim.
1325/1347	⏑––⏑– ⏑––⏑⏑̇	dochm. dim.

BIBLIOTHECA TEVBNERIANA

Euripides, Hippolytos

Edidit Walter Stockert. 1994

Der „Hippolytos" des Euripides (uraufgeführt 428 v. Chr.) zählt zu den bekanntesten Tragödien des Autors mit vielfältiger Rezeption in der antiken wie in der modernen Literatur.
Durch den monumentalen Kommentar von W. S. BARRETT und die editio Oxoniensis J. DIGGLEs war dieses Drama kritisch und sprachlich bereits gut erschlossen. Damit war der Editor der vorliegenden Edition mit einer besonderen Herausforderung konfrontiert: mit der Notwendigkeit, durch neue Erkenntnisse das Erscheinen einer weiteren Ausgabe dieses Dramas zu rechtfertigen.
Walter Stockert, Schüler der beiden bedeutenden Wiener Gräzisten Walther Kraus und Albin Lesky, hatte sich bereits mit seinem 2bändigen Kommentar zur „Aulischen Iphigenie" (der in den „Beiheften der Wiener Studien" erschien) auf dem Gebiet der griechischen Tragödie profiliert.
Bei der Vorbereitung der vorliegenden Ausgabe wurde auch die handschriftliche Überlieferung sorgfältig studiert. Ihre Eigenständigkeit gewinnt die Edition angesichts der Kompetenz der genannten Vorgänger jedoch nicht auf dem Gebiet der „recensio"; das Neue liegt vielmehr in den nicht unbeträchtlichen Beiträgen zur Textgestaltung, einer Neugestaltung des textkritischen Apparates (mit möglichst genauer Präzisierung der Erstvorlage einer jeden Konjektur) sowie in einem reichen, völlig neu erarbeiteten Testimonienapparat, wie er für B. G. Teubners Euripides-Ausgaben charakteristisch ist.



B. G. TEUBNER STUTTGART UND LEIPZIG

BIBLIOTHECA TEVBNERIANA

Euripides, Electra

Edidit Giuseppina Basta Donzelli. 1995

Dieser Text bildet einen wichtigen Bestandteil und zugleich den Abschluß der Euripideseditionen von B.G. Teubner. Gegenüber der Textausgabe innerhalb des 2. Bandes der Euripides-Fabulae in den Oxford Classical Texts von 1981 stellt diese Ausgabe einen Fortschritt allein schon dadurch dar, daß wesentliche, erst kürzlich erschienene Literatur in ihr mit verarbeitet ist. Darüberhinaus bietet sie als Einzelausgabe durch ein vollständiges Verzeichnis früherer Editionen und ein umfangreiches, nach Verfassernamen alphabetisch geordnetes Literaturverzeichnis und einen Conspectus metrorum wesentlich mehr als jene Sammelausgabe. Hervorzuheben ist auch, daß zusätzlich zu der direkten Überlieferung über dem textkritischen Apparat Zitate aus dieser Tragödie bei späteren Schriftstellern angeführt sind, die für die Textkonstituierung Bedeutung haben. Der textkritische Apparat ist übersichtlich und zum Teil ausführlicher als in besagter Oxford-Ausgabe. Die lateinische Praefatio ist klar, straff und präzise und legt den Forschungsstand deutlich dar. Daß der Text selbst, der sich im Wesentlichen nur auf einen mittelalterlichen Kodex stützen kann, in weiten Teilen seit langem unverändert bleiben muß, versteht sich von selbst. Hervorzuheben ist jedoch die Behutsamkeit gegenüber modernen Tilgungs- und Versumstellungs-Vorschlägen. Neuere textkritische Aufsätze sind im Text oder im textkritischen Apparat gebührend berücksichtigt.



B. G. TEUBNER STUTTGART UND LEIPZIG